[1] Cl. Sextus Emp., Adv. Astrol., V, 31: The Egyptians liken the Sun to a king and the right eye, and the Moon to a kingdom and the left eye.

τινος ἀγαθοποιοῦ ὡροσκοπῇ, χρήματα λαβὼν ὁ ἐνάγων σιγήσεται· ἐὰν δὲ τὸν ὡροσκόπον ὁ Κρόνος βλάπτῃ, ζημιωθήσεται ὁ κατήγορος. Τὸ δὲ μεσουράνημα ἔστω ὁ κριτὴς καὶ ἐὰν τὸ μεσουράνημα βλάπτηται ὑπὸ κακοποιοῦ, τότε οἱ κριταὶ μὴ συμφωνήσαντες ἀλλήλοις διαστή-
5 σονται καὶ ἔσται ἀναβολὴ τῆς δίκης· εἰ δὲ καὶ συμφωνήσουσιν οἱ κριταί, ἀβέβαιος αὐτῶν ὅμως ἡ κρίσις καὶ ἡ συμφωνία ἐκστραφήσεται· ὁ δὲ Κρόνος μεσουρανῶν αἴτιός ἐστιν ἀδικοκρισίας· οἱ δὲ ἀγαθοποιοὶ μεσουρανοῦντες ποιοῦσι δικαιοκρισίας. τὸ δὲ δῦνον ἔστω ὁ ἐναγόμενος. [f. 76v] καὶ ἐκ τῶν εἰρημένων ἐπὶ τοῦ ὡροσκόπου σχηματισμῶν
10 τῶν ἀστέρων σκέπτου ἀναλόγως τὸ αὐτὸ καὶ ἐπὶ τοῦ δύνοντος καὶ κατηγορουμένου· ἐὰν δὲ ὁ Ἑρμῆς μετά τινος τῶν κακοποιῶν βλάπτῃ τὸ δῦνον, ἔσται ὁ ἐναγόμενος ἐπὶ διαβολῇ, εἰ καί τις μάρτυς ἐλθὼν καταμαρτυρήσει αὐτοῦ. Τὸ δὲ τέλος τῆς δίκης ἔσται ἐκ τοῦ ὑπογείου· σκοπεῖν οὖν δεῖ τοὺς οἰκοδεσπότας τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνον-
15 τος καὶ ὁποῖος αὐτῶν ὕπαυγος τοῦ ἑτέρου ἀνατολικοῦ ὄντος, κακὸν σημαίνει τῷ οἰκείῳ αὐτοῦ προσώπῳ· ἐὰν δὲ ἄμφω ὦσιν ὕπαυγοι, ἔσται ἀνακωχὴ τῆς δίκης πρὸς χρόνον καὶ πάλιν ὕστερον δικασθήσεται. ἐὰν δὲ ἄμφω ἀνατολικοὶ ὦσι, διαλλαγήσονται οἱ μαχόμενοι. Οἱ ἀγαθοποιοὶ τῶν ἀστέρων οἷς τισιν ἂν συνοικειωθῶσι, δικαίαν νίκην παρέ-
20 χουσιν, οἱ δὲ κακοποιοὶ τῶν ἀστέρων <. . . .> κἂν ἔξαυγοι ὦσιν· ἐν ἀλλοτρίοις δὲ καὶ ἀνοικείοις τόποις ὄντες αἴτιοι γίνονται ἥττης. Οἱ κακοποιοὶ ἰδιοτοποῦντες καὶ ἐπικέντροι καὶ ἀνατολικοὶ ὄντες ἄδικον νίκην παρέχουσι τῷ οἰκείῳ αὐτῶν προσώπῳ. Σκοπεῖν δὲ χρὴ τόν τε δεύτερον τόπον καὶ τὸν ὄγδοον καὶ τὰς τῶν ἀστέρων πρὸς αὐτοὺς μαρτυ-
25 ρίας, ἵνα γνῶμεν τοὺς βοηθοῦντας ἑκατέρῳ προσώπῳ· ὁ μὲν γὰρ δεύτερος τοῦ διώκοντος ἐμφαίνει τοὺς συμμάχους, ὁ δὲ ὄγδοος τοῦ φεύγοντος· οἱ δὲ ἀγαθοποιοὶ οἷς ἂν ἐπαναφέρωνται, ἐκεῖνοι κρειττόνως ἀπαλλάξουσιν, οἱ δὲ κακοποιοὶ χειρόνως. Σκοπεῖν δὲ χρὴ καὶ τὸν τοῦ μεσουρανήματος δεσπότην· οὗτος γὰρ ᾧτινι συνοικειωθῇ προσώπῳ,
30 ἤτοι τῷ διώκοντι ἢ τῷ φεύγοντι, ἢ μαρτυρηθῇ ὑπ' αὐτοῦ ἢ τοὺς τόπους καταλλάξῃ μετ' αὐτοῦ ἢ ὑπὸ ἑνὸς ἀστέρος οἰκοδεσποτηθῇ ἢ εἰς τοὺς τόπους ᾖ αὐτοῦ, τοῦτο μᾶλλον τοῦ ἑτέρου ἐν εὐελπιστίᾳ εἶναι ποιεῖ.

4 κακοποιῶν P. τότε om. P. 5 καὶ ἔσται] ἔσται γάρ V. 5-6 καὶ post κριταί add. P. ὅμως om. V. 6 καὶ post συμφωνία add. V. ἐκτραφήσεται P. 7 ἐστιν] γίνεται P. ἀδικοκρισίαν V. 11 ἐὰν δέ] ἐὰν γάρ P. 12 εἰ] ἢ V. 14 οὖν] δέ V. 15 ποῖός ἐστιν P. αὐτῶν om. P. κακά P. 16 γάρ ante σημαίνει add. P. δὲ ὦσιν ὕπαυγοι καὶ ἄμφω P. 17 ἀνακωχή] Cf. Erotianus rec. Ios. Klein, p. 49. δικασθήσονται P. 19 οἷς τισιν] εἴ τισιν V. νίκην] δίκην V. 20 lacunam statuit Boll. κἂν] καί P. 20-21 ὅμως δὲ ἀλλοτρίοις καὶ ἀ. P. 21 πάλιν ante οἱ κακοποιοί add. P. 25 ἵνα] ἃ codd. 26 δεύτερος τοὺς συμμάχους ἐμφαίνει τοῦ διώκοντος P. 27 ἐπιφέρωνται V. κρειττόνως] cf. A. N. Jannaris, *Hist. Greek Gramm.*, § 520 *b*. χειρόνως nusquam inveni. Cf. Indicem huius fasciculi. 32 ᾖ post ἑτέρου ponit P. τοῦτο om. P. μᾶλλον ἢ P. ἐν εὐελπιστίᾳ] εὐέλπιστον P.

some benefic planet occupies the Ascendant, the plaintiff, having received money, will keep silent; but if Saturn harms the Ascendant, the accuser will suffer loss. Let the Midheaven be the judge, and if the Midheaven is harmed by a malefic, then the judges, failing to reach agreement with one another, will fall apart and there will be a postponement of the trial; and even if the judges do reach agreement, their judgment is nevertheless unstable and their accord will be overturned; Saturn occupying the Midheaven is the cause of unjust judgment, while the benefic planets occupying the Midheaven bring about just judgment. Let the Descendant be the defendant. [f. 76v] And from the aforementioned configurations of the stars applied to the Ascendant, consider analogously the same also with respect to the Descendant and the accused; but if Mercury together with one of the malefics harms the Descendant, the defendant will face slander, and some witness coming forward will testify against him. The outcome of the trial is to be examined from the subterranean place; one must therefore examine the lords of both the Ascendant and the Descendant, and whichever of them is under the rays while the other is oriental, it signifies harm to its own associated person; but if both are under the rays, there will be a suspension of the trial for a time, and it will be judged again later. If both are oriental, the disputants will be reconciled.The benefic stars, whichever persons they are associated with, grant a just victory, while the malefic stars ⟨harm them⟩ even if they are outside the rays; but when they are in alien and unsuitable places, they become the cause of defeat. The malefic stars, when in their own domicile, angular, and oriental, grant an unjust victory to their own associated person. One must also examine the second house and the eighth, and the testimonies of the stars toward them, so that we may know who aids each party; for the second house indicates the allies of the plaintiff, and the eighth those of the defendant; and the benefics, whichever house they are associated with, those parties will come off better, while the malefics bring worse outcomes. One must also examine the lord of the Midheaven; for whichever person it is associated with — either the plaintiff or the defendant — or is testified to by him, or exchanges places with him, or is ruled by the same star, or is in his places, this makes that party more hopeful than the other.

4 thugs P. then om. P. 5 and be] be for V. 5-6 and post critainadd. R. however om. V. 6 and post agreement add. V. is brought up P. 7 estin]n becomes P. injustice V. 11 ἐὰ δε] ἐὰ γαρ P. 12 εἰ] or N. 14 οὖν] δε n.nkaka P. 16 γαρ ante 15 who is R. αὐτῶν om. R. means add. P. δὲnCf. Erotianus rec. iOS. nῶsin ypavgoi and ampho R. 17 Klein, p. 49.nnikin] trial V. 20 armistice] ntrials P. 19 οἷs tisin] ἴ tisin V. lacunam statuit nBoll. khan] and R. 20-21, however, other three and a. P. 21 again ante of criminalsadd. P. 25 ἵνα & codd. 26 second the allies appear of the persecutor P. n27 they suffer V. creittonos] cf. A. N. Jannaris, Hist. Greek Gramm., 5206. by hand nusquam inveni. Cf. Indicem buius fasciculi. 32 or another post ponit P. ntoῦto om. R. maybe or R. in hope] hope R.

Οὐ χρὴ δὲ ἐκ μόνων τῶν τεσσάρων κέντρων περὶ τῶν τοιούτων καταστοχάζεσθαι, ἀλλὰ δεῖ καὶ τὴν Σελήνην ὁρᾶν πῶς διάκειται καὶ τὰς ἀπορροίας καὶ συναφὰς αὐτῆς· ἐὰν γὰρ συνωθούσης τῆς Σελήνης οἱ κακοποιοὶ αὐτὴν ἐφορῶσι, κακὸν σημαίνει τῷ διώκοντι· οὐ γὰρ μόνον ἡττηθήσεται, ἀλλὰ καὶ ὑβρισθήσεται καὶ βλαβήσεται. ἡ Σελήνη ὅταν ἐστὶ συνοδικὴ ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου, τότε ὁ ἰσχυρότερος νικήσει τὸν ταπεινότερον.

Ἐὰν δὲ χρηματική ἐστιν ἡ δίκη, οὕτως δεῖ σκοπεῖν· Σελήνη αὐξιφωτοῦσα ἔστω ὁ δανειστής, ὁ δὲ Ἥλιος ὁ ὀφειλέτης· ἐὰν δὲ ἡ Σελήνη λήγῃ, ἀνάπαλιν ὁ μὲν Ἥλιος ἔστω ὁ δανειστής, ἡ δὲ Σελήνη ὁ χρεώστης· [f. 77] ὅστις οὖν ἐκ τῶν δύο κεῖται ἐν κρείττονι τόπῳ καὶ οἰκειοτοπεῖ μᾶλλον τοῦ ἑτέρου καὶ ἀγαθύνεται μᾶλλον, ἐκεῖνος τὸ οἰκεῖον πρόσωπον ἀπεργάζεται ἰσχυρότερον τοῦ ἑτέρου.

Δεῖ δὲ καὶ τὸν τῆς Τύχης κλῆρον σκοπεῖν καὶ τὸν οἰκοδεσπότην τοῦ κλήρου· εἰ μὲν γὰρ τῷ ὡροσκόπῳ προσνεύσει, ὁ διώκων ἰσχυρότερος ἔσται· εἰ δὲ τῇ δύσει, ὁ φεύγων· ἐὰν δὲ ὁ κλῆρος τετραγωνίζῃ τόν τε ὡροσκόπον καὶ τὸ δῦνον, εἰ μὲν ὑπὸ γῆν εἴη, διαλλαγήσονται αὐτοὶ καθ' αὑτοὺς οἱ μαχόμενοι· εἰ δὲ μεσουρανοίη, οἱ κριταὶ αὐτοὺς διαλλάξουσιν· ἐὰν δὲ οἱ κύριοι τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνοντος τύχωσιν ὄντες ὁμοῦ ἐν ἑνὶ ζῳδίῳ, οἱ δικαζόμενοι οἰκεῖοι ἔσονται ἀφ' αἵματος ἀλλήλοις.

Καὶ εἰ μὲν εἴη Ἑρμαϊκὸν τὸ ζῴδιον τὸ ὑποδεξάμενον τοὺς δεσπότας τοῦ τε ὡροσκόπου καὶ τοῦ δύνοντος, ἔσται πατὴρ τέκνῳ δικαζόμενος ἢ πόππος ἐγγόνῳ ἢ τοιαῦτα πρόσωπα· ἐὰν δὲ Ἀφροδισιακόν, ἔσται ἡ δίκη ἢ ἀνδρὸς πρὸς γαμετὴν ἢ ἀδελφοῦ πρὸς ἀδελφὴν ἢ πατρὸς πρὸς θυγατέρα ἢ τοιαῦτα· ἐὰν δὲ Ἄρεως ᾖ τὸ ζῴδιον, ἔσται ἡ μάχη ἀδελφῶν πρὸς ἀλλήλους ἢ ἀνεψιῶν ἢ τῶν τοιούτων· ἐὰν δὲ Διός, ἔσται ὁ δικαζόμενος ἤτοι πρεσβυτέρῳ ἢ ἀδελφῷ ἢ θείῳ ἢ τὰ ὅμοια τούτοις· ἐὰν δὲ Κρονικόν, ἔσται ἡ δίκη πρὸς πατέρας ἢ πάππους ἢ μοναχοὺς ἢ εὐνούχους ἢ τοιούτους· ἐὰν δὲ Ἡλιακόν, πρὸς πατέρας ἢ ἐνδοξοτέρους· ἐὰν δὲ Σεληνιακόν, πρὸς μητέρας ἢ θείας ἢ τοιαύτας· ἐὰν δὲ οἱ τῶν κέντρων δεσπόται μὴ ὦσιν ὁμοῦ ἐν ἑνὶ ζῳδίῳ, δηλονότι ἀλλότριοι ἔσονται ἀλλήλων οἱ μαχόμενοι.

2 δεῖ] δή cod. 3 ἔτι ante τὰς ἀπορρ. add. P. τὰς συναφὰς P. αὐτῆς] τῆς Σελήνης P. ἐὰν γὰρ] ἐὰν δέ V. συνωθείσης P. 3-4 τῆς Σελήνης] αὐτῆς P. 8 περὶ χρημάτων ἡ δίκη ᾖ P. 12 οἰκειοτοπῇ P. 15 τουτέστιν ὁ δανείσας post διώκων add. P. 16 τῇ δύσει] τῷ δύνοντι P. 18 οἱ μαχόμενοι om. P. μεσουρανεῖ V. κριταί] κύριοι P. 24 Ἀφροδισιαστικόν P. 25 ἢ ante ἀνδρός om. V. ἀδελφόν V. πατρός om. V. 26 πρόσωπα post τοιαῦτα add. P. τοῦ Ἄ. P. ἤτοι post μάχη add. P. 28 τὰ ὅμοια τούτοις] τοιουτωνί P. 20 Κρονιακόν V. 29-30 ἢ μοναχοὺς ἢ εὐνούχους om. P. 30-33 ἐὰν δὲ Ἡλιακόν ... μαχόμενοι om. P.

One must not make inferences about such matters from the four angles alone, but must also observe how the Moon is disposed and what her separations and applications are. For if, while the Moon is in conjunction, the malefic planets are looking upon her, it signifies ill for the plaintiff; for he will not only be defeated, but will also be subjected to outrage and harm. When the Moon is in conjunction under the same rays as the Sun, then the stronger party will overcome the weaker.

But if the lawsuit is about money, one must examine it as follows: let the waxing Moon be the creditor, and the Sun the debtor; but if the Moon is waning, conversely let the Sun be the creditor and the Moon the debtor; whichever of the two is situated in a more favorable place and is more at home there than the other and is more benefited, that one renders its corresponding person stronger than the other.

One must also examine the Lot of Fortune and the ruler of the Lot; for if it inclines toward the Ascendant, the plaintiff will be stronger; but if toward the Descendant, the defendant; and if the Lot squares both the Ascendant and the Descendant, if it is below the earth, the contending parties will reconcile among themselves; but if it culminates at the Midheaven, the judges will reconcile them; and if the rulers of both the Ascendant and the Descendant happen to be together in one zodiac sign, the litigants will be blood relatives of one another.

And if the sign that has received the rulers of both the Ascendant and the Descendant is a sign of Hermes, the lawsuit will be between a father and a child, or a grandfather and a grandchild, or persons of that kind; but if it is a sign of Aphrodite, the lawsuit will be either between a husband and wife, or a brother and sister, or a father and daughter, or such like; but if the sign belongs to Ares, the dispute will be between brothers with one another, or cousins, or such persons; if of Zeus, the litigant will be in dispute with either an elder, or a brother, or an uncle, or persons similar to these; if it is a sign of Cronus, the lawsuit will be against fathers, or grandfathers, or monks, or eunuchs, or such persons; if it is a sign of the Sun, against fathers or persons of greater distinction; if it is a sign of the Moon, against mothers, or aunts, or such persons; but if the rulers of the angles are not together in one zodiac sign, clearly the disputants will be strangers to one another.

2 δεῖ] δή cod. 3 ἔτι ante τὰς ἀπορρ. add. P. τὰς συναφάς P. αὐτῆς] τῆς Σελήνης P. ἐὰν γάρ] ἐὰν δέ V. συνωθείσης P. 34 της Σελήνης] αὐτῆς P.
34 της Σελήνης] αὐτῆς P.
8 περί χρημάτων ἡ δίκη ἡ P. 12 οἰκειοτοπῆ P. 15 τουτέστιν ὁ δανείσας post
12 οἰκειοτοπῆ P. 15 τουτέστιν ὁ δανείσας post
διώκων add. P. 16 τῇ δύσει] τῷ δύνοντι P. 18 οἱ μαχόμενοι om. P. μεσουρανεί V. κριταί] κύριοι P. 24 Ἀφροδισιαστικόν P. 25 h ante ἀνδρός om. V.
ἀδελφόν V. πατρός om. V. 26 πρόσωπα post τοιαῦτα add. P. τοῦ A. P.
ἤτοι post μάχη add. P. 28 τὰ ὅμοια τούτοις] τοιουτωνί P. 20 Κρονιακόν V.
29-30 ἢ μοναχοὺς ἢ εὐνούχους om. P. 30-33 ἐὰν δὲ Ἡλιακόν ... μαχόμενοι om. P.

[F. 76 in margine.]

Εἰ ἐρωτηθῇς περὶ γυναικός, εἰ δύναταί τις ἑνωθῆναι αὐτῇ χωρὶς συζύγου, ἰδὲ τὸν ὡροσκόπον· καὶ εἴ ἐστιν ὁ Ἄρης ἐν αὐτῷ ἢ ἐν τοῖς κέντροις καὶ συσχηματίζεται αὐτῷ ἡ Ἀφροδίτη ἢ ὁ κύριος τοῦ ζ', δηλοῖ τὴν τούτων ἕνωσιν· τὸ αὐτὸ οὖν δηλοῖ καὶ ἡ Ἀφροδίτη μέλλουσα γενέσθαι ὕπαυγος ἢ πρὸς τὸν Ἥλιον ἀναποδίζουσα. εἰ δὲ βούλει γνῶναι, ποῖος ἐκ τούτων ἀγαπήσει τὸν ἕτερον πλέον, ἰδὲ τὸν κύριον τοῦ ὡροσκόπου, καὶ εἰ ὑπάρχει ἐν τῷ ζ' ἢ συσχηματίζεται τῷ κυρίῳ τοῦ ζ', ἐστὶν ἡ πρὸς τὴν γυναῖκα ἀγάπη τοῦ ἀνδρὸς πλέων· εἰ δὲ ὁ κύριος τοῦ ζ' ἐν τῷ ὡροσκόπῳ εὑρεθῇ ἢ συσχηματίζεται τῷ κυρίῳ τοῦ ζ', πλέων ἐστὶν ἡ ἀγάπη τῆς γυναικὸς ἡ πρὸς τὸν ἄνδρα.

Εἰ ἐρωτηθῇς περὶ δύο γυναικῶν ἢ παλλακίδων ὡς ὁποία ἐκ τούτων ἀγαπήσει τὸν κύριον αὐτῆς πλέον, λάβε τὴν μὲν ἐρωτήσασαν ἀπὸ τοῦ ὡροσκόπου, τὴν δὲ ἑτέραν ἀπὸ τοῦ ζ'· καὶ ὁποῖος τῶν δύο κυρίων πλησιάζει τῷ μεσουρανήματι ἢ συσχηματίζεται τῷ κυρίῳ τοῦ μεσουρανήματος, ἐκείνη ἡ γυνὴ ἀγαπήσει πλέον τὸν κύριον αὐτῆς.

Εἰ ἐρωτηθῇς παρὰ ἀνδρός, εἰ ἀγαπήσει ἡ γυνὴ ἕτερον, ἰδὲ τὸν κύριον τοῦ ὡροσκόπου καὶ εἰ ὁρᾷ τὸν οἰκοδεσπότην αὐτοῦ, λέγε ναί· ἡ δὲ ὁμοίωσις καὶ τὸ εἶδος αὐτοῦ ἔσται οἵα ἐστὶν ἡ τοῦ οἰκοδεσπότου τοῦ κυρίου τοῦ ὡροσκόπου· εἰ δέ ἐστιν ἕτερος ἀστὴρ μετὰ τοῦ κυρίου τοῦ ὡροσκόπου ἢ δύο ἢ τρεῖς ἀστέρες, ἐρᾷ ἡ γυνὴ τοσούτους καὶ τὴν ὁμοίωσιν αὐτῶν· εἰ δὲ ὁρᾷς ἑκάτερον τούτων τῶν ἀστέρων ἐν τῷ οἴκῳ τοῦ ἑτέρου, ἔσται μεταξὺ αὐτῶν συγγένεια· εἰ δὲ τετραγωνίζουσιν, ἔσται μεταξὺ αὐτῶν μῖσος· εἰ δὲ διαμετροῦσιν, ἔχθρα· εἰ δὲ τριγωνίζουσιν ἢ ἑξαγωνίζουσιν, φιλία.

Dorotheus de fugitivis [1].

[F. 77v.] Περὶ δραπετῶν ἕτερα διάφορα Δωροθέου [καὶ ἑτέρων σοφῶν].

Φησὶν ὁ Δωρόθεος οὕτως· γνωσόμεθα τὸν μὲν δραπέτην ἐκ τῶν τῇ Σελήνῃ καὶ τῷ ὡροσκόπῳ συμβεβηκότων, τὸν δὲ δεσπότην ἐκ τῶν τῷ Ἡλίῳ καὶ τῷ μεσουρανήματι· ἐὰν οὖν ἡ Σελήνη ἢ ὁ ὡροσκόπος ἐν

2 εἰ δύναται] ἐὰν δύναται cod. 3 συζυ cod. 4 εἰ ἡ Ἀ. cod. 12 παλακίδων cod. 13 αὐτοῦ cod. 15 τῷ μεσουρανήματι] τοῦ μεσουρανη cod. 19 καὶ τὸ εἶδος addidit manus altera. 21-22 καὶ τὰ τὴν ὁ. cod. 24-25 τριγωνίζουσιν] Δι' cod. ἑξαγωνίζουσιν] ∇ι' cod. 28 καὶ ἑτέρων σοφῶν uncinis seclusi.

[1] Dorothei περὶ δραπετῶν versus excerpserat Hephaestio III, 37, sed « librariorum pigritia interierunt ». Cf. Kroll, *Catal.*, VI, p. 113. Hoc excerptum ex exemplari Hephaestionis descriptum est, ubi Dorothei versus solutis verbis redditi erant; cf. supra, p. 80.

[F. 76 in margin.]

If you are asked about a woman, whether someone can be united with her without a husband, look at the Ascendant; and if Mars is in it or in the angles and Venus or the lord of the 7th is in aspect with it, this indicates their union. The same is also indicated by Venus being about to become combust or retrograding toward the Sun. But if you wish to know which of the two will love the other more, look at the lord of the Ascendant, and if it is in the 7th or is in aspect with the lord of the 7th, the man's love for the woman is greater; but if the lord of the 7th is found in the Ascendant or is in aspect with the lord of the 7th, the woman's love for the man is greater.

If you are asked about two women or concubines, which of them will love her master more, take the one who asked the question from the Ascendant, and the other from the 7th; and whichever of the two rulers approaches the Midheaven or is in aspect with the ruler of the Midheaven, that woman will love her master more.

If you are asked by a man whether his wife will love another, look at the ruler of the Ascendant, and if it aspects its domicile lord, say yes; and the likeness and appearance of the other man will be such as is that of the domicile lord of the ruler of the Ascendant; and if there is another star with the ruler of the Ascendant, or two or three stars, the woman will love that many men, and their likenesses; and if you see each of these stars in the house of the other, there will be kinship between them; and if they are in square, there will be hatred between them; if they are in opposition, enmity; if they are in trine or sextile, friendship.

Dorotheus on runaways. [1]

[F. 774.] Various other matters on runaways by Dorotheus [and other wise men].

Dorotheus says as follows: we shall know the runaway from what has happened to the Moon and the Ascendant, and the master from what has happened to the Sun and the Midheaven; if therefore the Moon or the Ascendant is in

2 if he is able] if he is able cod. 3 συζυ cod. 4 if the A. cod. 12 παλακίδων cod. μτ'

13 αὐτοῦ cod. 15 τῷ μεσουρανήματι] τοῦ μεσουρανη cod. 19 καὶ τὸ εἶδος additit manus altera. 21-22 xai tà tὴy 8. cod. 24-25 τριγωνίζουσιν] Δι' cod. Ἑξαγωνίζουσιν] γι' cod. 28 καὶ ἑτέρων σοφῶν uncinis seclusi.

---

1 Dorotheus's verses on runaways had been excerpted by Hephaestion III, 37, but * they perished through the laziness of scribes. Cf. Kroll, Catal., VI, p. 113. This collection of excerpts was copied from a copy of Hephaestion, in which Dorotheus's verses had been rendered in prose; cf. above, p. 80.

τροπικοῖς ἢ ἐν ἡμερινοῖς τύχωσι ζῳδίοις, ἐμποδισμοὶ συμβήσονται τῷ φυγόντι καὶ οὐ μὴ δυνηθῇ πόρρω που ἀφικέσθαι οὔτε διὰ γῆς οὔτε διὰ θαλάσσης· ἐὰν δὲ ἐν δισώμοις, οὐκ ἔφυγε μόνος, ἀλλ' ἔχει στερεότητα καὶ καρτερίαν [f. 78]· Ἄρεως δὲ ἐκ τῶν δεξιῶν, τοῦ Ἑρμοῦ τριγωνίζοντος ἀπὸ τοῦ ὑπογείου, χαλεπὸς θάνατος τῷ φυγόντι δηλοῦται· Σελήνης ὑπὸ τὰς αὐγὰς οὔσης τοῦ Ἡλίου καὶ ὑπὸ Ἄρεως ὁρωμένης ὁ φυγὼν ἢ ἀπὸ πυρὸς ἢ ἀπὸ σιδήρου ἀπόλλυται.

Εἰ δὲ θέλεις γνῶναι καὶ τὴν ποιότητα τοῦ ὀλέθρου καὶ ὑπὸ τίνων γίνεται, σκέπτου οὕτως· σκόπει γὰρ τὸ ζῴδιον ὅπερ ἐπέχει ἡ Σελήνη καὶ τὸν ὡροσκόπον τῆς καταρχῆς· εἰ μὲν οὖν ὦσιν ἀνθρωπόμορφα, ὑπὸ ληστοῦ καὶ ἁπλῶς ἀνθρώπων τὰ κακὰ γίνεται· ἐὰν τετράποδα, ὑπὸ θηρίων· εἰ δὲ ἀνάμιξις, τουτέστιν τὸ μὲν ἀνθρωπόμορφον, τὸ δὲ τετράπουν, ὑπὸ πολεμίων ἱππέων· ἐὰν δὲ γεώδη, ὑπὸ κρημνισμῶν ἢ συμπτωμάτων· ἐὰν δὲ τὴν Σελήνην ὡς εἴρηται ὕπαυγον οὖσαν ὁ Κρόνος ἐκ ζῳδίου καθύγρου ἴδῃ Λέοντος ὡροσκοποῦντος, βεβαιότερον τὸ κακὸν δηλοῦται· οὔτε γὰρ ὁ φυγὼν εὑρεθήσεται, ἀλλὰ διαφθαρήσεται, οὔτε τὸ ἀπολωλὸς εἶδος· ἐὰν δὲ τῇ τοιαύτῃ τῆς Σελήνης κακώσει καὶ ὁ Ἑρμῆς συμπνεύσῃ, οἱ δραπέται αὐτόχειροι ἀποθνήσκουσι. τὰς δὲ προειρημένας κακώσεις οἱ ἀγαθοποιοὶ ἀναλύουσιν εἰσθεωρήσαντες καὶ μάλιστα ἔξαυγοι ὄντες· Σελήνης πρὸς Ἄρεα μὴ στηρίζοντα φερομένης ἀλλὰ προσθετικῆς, ὁ φυγὼν μαστίγων καὶ βασάνων πεῖραν λήψεται· Ἄρεως δύνοντος Σελήνης ἐπιδυομένης τοῦ Διὸς ἐπιθεωροῦντος αὐτούς, ὁ φυγὼν διὰ μὲν τὸν Ἄρεα φόβους καὶ κινδύνους ὑποστήσεται, διὰ δὲ τὸν Δία ῥυσθήσεται ἐκ τοῦ κακοῦ· ἐὰν οἱ κακοποιοὶ τὸ ὑπόγειον κέντρον ἢ τὸ μεσουράνημα ἢ τὸ δῦνον περιέχουσιν, ὁ φυγὼν δεσμότης γενόμενος ἐν εἱρκτῇ ἀποθνήσκει.

Σελήνης μεσουρανούσης καὶ ὑπὸ τῶν κακοποιῶν περιεχομένης, ὑπὸ τοῦ μὲν Ἄρεως ἐκ τῶν δεξιῶν, ὑπὸ δὲ τοῦ Κρόνου ἐκ τῶν εὐωνύμων, ὁ φυγὼν ἀγχόνῃ διαφθαρήσεται· ἐὰν δὲ ὁ μὲν Ἄρης ἐκ τῶν εὐωνύμων, ὁ δὲ Κρόνος ἐκ τῶν δεξιῶν αὐτὴν περιέχωσιν, ὁ φυγὼν ἀνασταυρωθήσεται. Σελήνης μεσουρανούσης ἢ δυνούσης ἢ ἐν τῷ ὑπογείῳ κέντρῳ οὔσης ὑπὸ Ἡλίου ἢ Ἄρεως περιεχομένης, ὁπόθ' ἑκάτερος τύχῃ ἢ δεξιὸς ἢ εὐώνυμος, ὁ φυγὼν ζῶν πυρὶ παραδοθήσεται· ὁ τῆς Σελήνης οἰκοδεσπότης ὕπαυγος ὢν καὶ μὴ θεωρῶν τὴν Σελήνην τοῦ φυγόντος τὸν δεσπότην δηλοῖ ταχέως ἀποθνήσκειν· τῆς Σελήνης καὶ τοῦ οἰκοδεσπότου αὐτῆς καὶ τοῦ ὡροσκόπου ἐν τροπικοῖς ζῳδίοις ὄντων ὁ φυγὼν ἐν μετανοίᾳ γενόμενος ἑκουσίως πρὸς τὸν δεσπότην ὑποστρέψει. ἐὰν δὲ ἡ Σελήνη ὁρᾶται ὑπὸ ἀγαθοποιῶν καὶ κακοποιῶν, οὐ διαφεύξεται ὁ φυγὼν τὸν δεσπότην καὶ μάλιστα ὅταν ὁ κακοποιὸς

1 ἢ ἐν ἡ.] ἢ εἰς ἡμερινοῖς cod. 3 στερότητα cod. 8 γνῶναι addidi. 12 εἰ] ἡ cod. 21 προσθετική cod. 23 φόβους] cf. A. Dieterich, *Abraxas*, p. 89 sqq. 27 et 28 ὑπό post περιεχομένης et post δεξιῶν addidi. 32 οὔσης] ἰούσης cod.

in tropical or in diurnal signs, obstacles will befall the fugitive and he will not be able to reach far, neither by land nor by sea; but if they are in bicorporeal signs, he did not flee alone, but has steadfastness and endurance [f. 78]; if Mars is on the right side and Mercury forms a trine from the subterranean angle, a violent death is indicated for the fugitive; if the Moon is in the same position as the Sun and is beheld by Mars, the fugitive perishes either by fire or by iron.

But if you wish to know also the nature of the destruction and by what means it comes about, examine it thus: look at the sign the Moon occupies and the Ascendant of the inception; if they are human-shaped signs, the harm comes from a bandit and simply from men; if they are four-footed signs, from wild beasts; if there is a mixture, that is, one being human-shaped and the other four-footed, from enemy horsemen; if they are earthy signs, from precipices or collapses; if Saturn beholds the Moon in the aforementioned condition of being under the rays, from a watery sign, while Leo is rising, the harm is indicated more certainly; for neither will the fugitive be found, but will perish, nor will the lost person be found; but if Mercury also concurs with such an affliction of the Moon, the runaways die by their own hand.but the benefics, when they cast their gaze upon the aforementioned afflictions and are especially in full light, dissolve them; if the Moon is moving toward Mars while he is not stationary but in direct motion, the fugitive will experience flogging and torture; if Mars is setting and the Moon is also setting and Jupiter casts his gaze upon them, the fugitive will, on account of Mars, endure fears and dangers, but on account of Jupiter will be saved from the evil; if the malefics occupy the subterranean angle or the Midheaven or the Descendant, the fugitive, having become a prisoner, dies in confinement.

When the Moon is at the Midheaven and is enclosed by the malefics, by Mars from the right side and by Saturn from the left side, the fugitive will be destroyed by hanging; but if Mars from the left side and Saturn from the right side enclose her, the fugitive will be crucified. When the Moon is at the Midheaven or setting or in the subterranean angle, enclosed by the Sun or Mars, whichever happens to be either on the right or on the left, the fugitive will be delivered alive to fire; the lord of the Moon being under the rays and not beholding the Moon indicates that the master of the fugitive will die quickly; when the Moon and her lord and the Ascendant are in tropical signs, the fugitive, having repented, will voluntarily return to his master. But if the Moon is beheld by both benefics and malefics, the fugitive will not escape his master, and especially when the malefic

1 or in ἡ.] or in daily cod. 3 lack of cod. 8 know addidi. 12 εἰ] ἡn23 ncod. 21 prosthetic cod. fears] cf. A. Dieterich, Abraras, p. 89 sqq.
27 and 28 ὑπό added after περιεχομένης and after δεξιών by the editor. 32] virus cod.

τετράγωνος ἢ διάμετρος ᾗ πρὸς τὴν Σελήνην· καὶ ἐν ἐκείναις σχεδὸν ταῖς ἡμέραις, ἐν αἷς [f. 79] ἡ Σελήνη διέρχεται κατὰ περίπατον εἰς τὰς τοῦ κακοποιοῦ μοίρας τῆς ἐποχῆς, ἤτοι ἀγρευθήσεται ὁ φυγὼν ἢ κακῷ τινι περιπεσεῖται· τῆς Σελήνης καὶ τοῦ ὡροσκόπου ἀμφοτέρων κεκα-
5 κωμένων καὶ ὑπὸ μηδενὸς τῶν ἀγαθοποιῶν βοηθουμένων ὁ φυγὼν κινδυνεύσει καὶ βλαβήσεται· τῆς Σελήνης καὶ τοῦ ὡροσκόπου ἀμφοτέρων βοηθουμένων ὑπὸ τῶν ἀγαθοποιῶν καὶ ἀκακώτων ὑπὸ Κρόνου καὶ Ἄρεως, εἰ μὲν ἐν στερεοῖς ζῳδίοις ὦσιν οἱ ἀγαθοποιοί, ὁ φυγὼν οὐδέποτε εὑρεθήσεται· εἰ δὲ ἐν δισώμοις ἢ τροπικοῖς, ὁ φυγὼν μετα-
10 νοήσας ὑποστρέψει ἤ, εἰ καὶ εὑρεθῇ, οὐδὲν κακὸν πείσεται· ὁ Ἥλιος τὴν Σελήνην καὶ τὸν ὡροσκόπον θεωρῶν πάντα φανεροποιεῖ τὰ λαθραῖα. ἀπὸ δὲ τῶν ὑποφαινουσῶν [εὕρεσιν] καταρχῶν ὁ μὲν Ἄρης ταχέως δηλοῖ τὴν εὕρεσιν, ὁ δὲ Κρόνος βραδέως. Διὸς δύνοντος ὁ φυγών, εἰ καὶ κρατηθῇ, οὐδὲν κακὸν πείσεται· ὁ γὰρ δεσπότης πραῦ-
15 νεται· ἡ Ἀφροδίτη Ἄρει ὑποφαίνουσα ἐν τόπῳ ἱερῷ τὸν φυγάδα ποιεῖ. ἐάν τις ἀστὴρ ἐν οἴκῳ ἰδίῳ ὢν καὶ βλέπων τὸν ὡροσκόπον καὶ τὴν Σελήνην ᾖ, δηλοῖ μὴ γεγονέναι φυγήν, ἀλλ' εἴ τι, που πλησίον πλανᾶται ὃν δοκεῖς πεφευγέναι, μακρὰν δὲ οὐκ ἀπῆλθε· πᾶς γὰρ ἀστὴρ ἀναποδίζων καὶ τὴν Σελήνην ὁρῶν καὶ τὸν ἴδιον οἶκον, οὐ πεφευγέναι λέγει
20 τὸν ζητούμενον, ἀλλ' ἐγγύς που πλανᾶσθαι· ἐπεὶ δὲ ἡ ὡροσκόπησις τῆς καταρχῆς τοῦ φυγόντος ἄδηλός ἐστι, δεῖ τιθέναι ἐκεῖνον ὡροσκόπον ὅπου ἤκουσεν ὁ τοῦ φεύγοντος δεσπότης τὴν ἀγγελίαν τῆς φυγῆς.

Καὶ ταῦτα μὲν ἐκ τῶν τοῦ Δωροθέου ἐπῶν μεταπέφρασται.

25

[F. 96 in margine.] Ὁ σοφώ<τατος> Δωρό<θεος> π<ερὶ τῆς ἀναγορεύσεως τοῦ βασιλέως ἢ τῆς προβολῆς τοῦ ἀρχηγοῦ.

Λάβε ἀπὸ τῆς ἀποτελεσμα>τικῆς τέχνης ὅπερ ἐνδέχεται εἶναι τοῦ
30 παρ' ἡμῖν ὡς μυστήριον· ἰδὲ τὴν ἡμέραν καθ' ἣν ἡ ἀναγόρευσις τοῦ βασιλέως ἢ ἡ προβολὴ τοῦ ἀρχηγοῦ ἢ τοῦ πράκτορος γένηται καὶ ποῖός ἐστιν ὁ πολεύων. Καὶ ἐὰν ἐγένετο ἡ ἀναγόρευσις ἢ ἡ προβολὴ κατὰ τὴν πρώτην ὥραν τῆς τοιαύτης ἡμέρας, δηλοῖ τὸ διαμενεῖν αὐτὸν ἐν τῇ τοιαύτῃ ἐξουσίᾳ καιρὸν τοσοῦτον, ὅσον ὁ τοιοῦτος ἀστὴρ ποιεῖ, ἵνα διέλθῃ τὸν ζῳδιακὸν κύκλον· εἰ δὲ ἐν τῇ δευτέρᾳ ὥρᾳ, ἀφαιρεῖται
35 ἐκ τοῦ τοιούτου ἀριθμοῦ τὸ ς'· εἰ δὲ ἐν τῇ τρίτῃ ὥρᾳ, ἀφαίρει τὸ δ' καὶ καθεξῆς ὁμοίως ἀποβλέπων πρὸς τὰς δώδεκα ὥρας τῆς ἡμέρας, ὥστε ὅσον μέρος παρῆλθεν ἡ ἡμέρα ἀπὸ τῶν δώδεκα ὡρῶν, τοσοῦτον

12 ἀπό] ὑπό cod. εὕρεσιν uncinis seclusi. 19 λέγει] λέγε cod. 25-27 Margo superior bibliopegae incuria totus fere resectus est. ο ... σοφω .... δωρο .... π .... cod. 26-28 περὶ τῆς ἀναγορεύσεως - ἀποτελεσμα] supplevi. 31 ἐγένετο cod. corrigere nolui. 33 διαμεῖναι cod.

is in square or in opposition to the Moon; and on approximately those days on which the Moon passes in her course through the degrees of the malefic's position, the fugitive will either be captured or will fall into some misfortune; when both the Moon and the Ascendant are afflicted and aided by none of the benefics, the fugitive will be in danger and will be harmed; when both the Moon and the Ascendant are aided by the benefics and unafflicted by Saturn and Mars, if the benefics are in fixed signs, the fugitive will never be found; but if they are in bicorporeal or tropical signs, the fugitive, having repented, will return, or, even if found, will suffer no harm; the Sun beholding the Moon and the Ascendant makes all secret things manifest, and from the indicative beginnings Mars quickly indicates the finding, while Saturn does so slowly. When Jupiter is setting, the fugitive, even if captured, will suffer no harm, for the master is appeased; Venus appearing beneath Mars in a sacred place makes the fugitive take sanctuary.If any star is in its own house and beholds the Ascendant and the Moon, it indicates that no flight has taken place, but that, if anything, the one you think has fled is wandering somewhere nearby and has not gone far; for every star in retrogradation that beholds the Moon and its own house says that the one being sought has not fled, but is wandering somewhere nearby; since the horoscope of the inception of the fugitive's flight is unknown, one must set as the Ascendant the point that was rising when the master of the fugitive heard the news of the flight.

And these things have been translated from the verses of Dorotheus.

25

[F. 96 in margine.] The most wise Dorotheus on the proclamation of the king or the appointment of the commander.

Take from the art of astrology what may be among us as a mystery; observe the day on which the proclamation of the king or the appointment of the commander or the agent takes place, and which planet is ruling. And if the proclamation or appointment occurred at the first hour of such a day, it indicates that he will remain in such authority for as long as that planet takes to traverse the zodiacal circle; but if at the second hour, one sixth is subtracted from that number; and if at the third hour, subtract one quarter, and so on likewise, looking toward the twelve hours of the day, so that whatever portion of the day has passed out of the twelve hours, so much

12 of] by cod. find uncinis seclusi. 19 says, say cod. 25-27 Margonsuperior bibliopegae incuria totus fere resectus est. o ... wise.... gift. ...nπ... cod. 26-28 about the purchase - result supplevi.31 genetoncod. corrigere nolui 33 resides cod.

μέρος ὀφείλει ἀφαιρῆσαι ἀπὸ τοῦ ἀριθμοῦ τῆς περιόδου τοῦ ἀστέρος τοῦ πολεύοντος κατὰ τὴν τοιαύτην ὥραν· ὁ τοιοῦτος δὲ ἀριθμὸς ἢ χρόνων ἔσται ἢ μηνῶν ἢ ἡμερῶν.

Εἰ δὲ γένηται ἡ ἀναγόρευσις ἢ ἡ προβολὴ ἐν νυκτί, ἰδὲ κατὰ τὴν ὥραν ἐκείνην τίς ἐστιν ὁ πολεύων καὶ τίς ἐστιν ὁ τοῦ ὡροσκόπου κύριος καὶ ὁ ὑψοκράτωρ καὶ ὁ οἰκοδεσπότης τοῦ κλήρου τῆς Τύχης καὶ λάβε ἐκ τούτων ὅντινα εὑρήσεις δυνατώτερον καὶ τοῦ ὡροσκόπου ἐπικρατήτορα χρηματίζοντα· καὶ εἰ μὲν ὁ τοιοῦτος ἐπικρατήτωρ ἐστὶ Ζεὺς ἢ Ἀφροδίτη καὶ ὁρᾷ τὸν ὡροσκόπον, σημαίνει δόσιν ἐτῶν παραμονῆς τῆς τοιαύτης ἀρχῆς τελείων κατὰ τὴν τοῦ ἀστέρος περίοδον χωρίς τινος ἀφαιρέσεως. εἰ δὲ ὁ ἐπικρατήτωρ ἐστὶ Κρόνος ἢ Ἄρης ἢ εὑρεθῇ εἷς ἐκ τούτων κύριος τοῦ κλήρου τῆς βασιλείας ἐπὶ τῷ βασιλεῖ ἢ κύριος τοῦ κλήρου τῆς πράξεως ἐπὶ τῷ πράκτορι, ἰδὲ τὸν μεταξὺ τῶν δύο κακοποιῶν ἀριθμὸν καὶ εἰπὲ διαρκέσειν τὸν τοιοῦτον ἐπὶ τῇ ἐξουσίᾳ αὐτοῦ ὥρας τοσαύτας ἢ ἡμέρας ἢ μῆνας. εἰ δὲ παρέλθῃ ἀπὸ τῆς νυκτὸς μία ὥρα, ἀφαίρησον ἀπὸ τοῦ τοιούτου ἀριθμοῦ τὸ ιβ'· εἰ δὲ δύο, ἀφαίρησον τὸ ς' καὶ καθεξῆς ὁμοίως καθὼς προεδηλώθη. τὴν τοιαύτην οὖν χρῆσιν οὐ μόνος ἐγὼ ἀληθεστάτην εὗρον δοκιμάσας αὐτήν, ἀλλὰ καὶ ἕτεροι σοφοὶ καὶ τῶν βασιλέων πολλοί.

Ἐπὶ τῇ τοιαύτῃ γοῦν ὑποθέσει ἐὰν εὕρῃς τοὺς κακοποιοὺς τριγωνίζοντας πρὸς ἀλλήλους, δηλοῖ τὸ εἶναι τὴν ἐξουσίαν ἐκείνην καλλίστην ἐπί τε αὐτῷ τῷ ἐξουσιαστῇ καὶ ἐπὶ τῷ λαῷ καὶ ἐπ' αὐτῷ τῷ θανάτῳ αὐτοῦ· εἰ δὲ ἑξαγωνίζοντας, τὸ αὐτὸ μὲν δηλοῦσιν, ἔσται δὲ τὸ καλὸν ἧττον· εἰ δὲ τετραγωνίζοντας, δηλοῖ τὸ εἶναι τὴν τοιαύτην ἐξουσίαν κακίστην ἐπ' αὐτῷ τε τῷ ἐξουσιαστῇ καὶ ἐπὶ τῷ λαῷ· εἰ δὲ διαμετροῦσιν, ἔσται τὸ κακὸν πλέον. εἰ δὲ ὁ κύριος τῆς ἡμέρας καὶ τῆς ὥρας καὶ τῶν ὁρίων τοῦ ὡροσκόπου ..... ἢ καὶ <...> δηλοῖ τὸ μὴ εἶναι ἐπὶ μήκιστα τὴν τοιαύτην ἐξουσίαν· εἰ δὲ Ἥλιος, δηλοῖ ἐπιμονὴν τῆς ἀρχῆς κατὰ τὴν τοῦ Ἡλίου ἐνιαυσίαν περίοδον. τὴν τοιαύτην μέθοδον ἐὰν ἐξακριβώσῃ ἐπί τε τοῖς βασιλεῦσι καὶ τοῖς λοιποῖς ἀρχηγοῖς, οὐχ ἁμαρτήσεις.

[F. 101 in margine.]

Λέγει ὁ Δωρόθεος ὡς εἰ ἐρωτηθῇς παρά τινος ἐκβληθέντος ἀπὸ τῆς ἀρχῆς. ἐρωτήσαντός τινος περὶ τοιαύτης ὑποθέσεως εἴτε ὑποστρέψει εἴτε καὶ μή, ἰδὲ τὴν Σελήνην καὶ ἐάν ἐστιν ὑποδεδεγμένη ἢ συσχηματίζεται ἀστέρι ὄντι εἰς κέντρον ἢ ὁρῶντι τὸν ὡροσκό-

9 ὁρᾷ incertum. 14 διακρέσαι cod. 15 τοσαύτας] τοσοῦτας cod. 27 post ὡροσκόπου in cod. sequuntur duo verba prorsus fere deleta. ante δηλοῖ lacunam significavi. 33-34 ἀπὸ τῆς ἀρχῆς incertum. Bibliopegae incuria primus huius capituli versus totus fere deletus est. 34 <ἐρωτῶν>τός τ<ινος> Cumont. <ἢ κυριότη>τός τ<ινος> Boll.

of the portion must be subtracted from the number of the period of the planet ruling at that hour; and such a number will be either of years, or of months, or of days.

But if the proclamation or appointment happens at night, look at that hour to see who is in power and who is the lord of the Ascendant and the hypsicrator and the oikodespotes of the Lot of Fortune, and take from these whichever you find to be the most powerful and acting as the dominant ruler of the Ascendant. And if such a dominant ruler is Jupiter or Venus and aspects the Ascendant, it signifies a grant of years of tenure in such office complete according to the period of that star, without any reduction. But if the dominant ruler is Saturn or Mars, or one of these is found as lord of the Lot of the Kingdom in the case of a king, or lord of the Lot of Action in the case of an official, look at the number between the two malefics and say that such a person will last in his authority for that many hours, or days, or months. But if one hour of the night has passed, subtract one-twelfth from that number; if two hours, subtract one-sixth, and so on in the same manner as previously indicated. This method, then, I am not the only one who found to be most true after testing it, but also other wise men and many kings.

On such a premise, then, if you find the malefics in trine aspect to one another, it indicates that that authority will be most excellent for the ruler himself, for the people, and even for his death; but if they are in sextile, they signify the same, but the good will be less; but if they are in square, it indicates that such authority will be most wretched for the ruler himself and for the people; and if they are in opposition, the evil will be greater. But if the lord of the day and of the hour and of the bounds of the Ascendant . ... or also <...> it indicates that such authority will not last for a very long time; but if it is the Sun, it indicates persistence of the rule according to the annual period of the Sun. If you work out this method carefully for both kings and other rulers, you will not go wrong.

[F. 101 in margin.]

Dorotheus says that if you are asked by someone who has been removed from office, and someone asks about such a matter whether he will return or not, look at the Moon and whether it is received or configured with a planet that is in an angle or looking at the Ascen

9 δρᾷ uncertain. 14 διακρέσαι cod. 15 τοσαύτας] τοσοῦτας cod. 27 after ὡροσκόπου in cod. follow two words almost entirely deleted. before δηλοῖ I have indicated a lacuna. 33 34 ἀπὸ τῆς ἀρχῆς uncertain. Through the carelessness of the bookbinder the first verse of this chapter is almost entirely deleted. 34 <ἐρωτῶν >τός τινος> Cumont. <ή κυριότη>τός τ<ινος> Boll.

πον, δηλοῖ ὑποστροφήν· τὸ αὐτὸ γοῦν σημαίνει, καὶ ὅτε ὁ κύριος τοῦ ὡροσκόπου καὶ ἡ Σελήνη συνάπτουσιν ἀστέρι ὑποποδισμένῳ.

[F. 102.] ΞΖ'. Περὶ τοῦ εἰ τέλος ἕξει τὸ ζητούμενον εἴτε καὶ μὴ καὶ εἰ ταχέως ἢ βραδέως.

Κατὰ τὸν Σαραπίωνα[1] τὸν πολεύοντα καὶ διέποντα θεωρεῖτε καὶ τὸν κύριον τοῦ ὡροσκόπου καὶ τοῦ μεσουρανήματος· καίτοι γὰρ ἢ οἱ πλείους ἢ πάντες ἐπίκεντροι ὄντες καὶ ἑῷοι πρὸς Ἥλιον καὶ ὡροσκοποῦντες θᾶττον τέλος ἐπάγουσιν· ἐπαναφερόμενοι δέ, βραδέως ἀνύουσιν· ἀποκεκλικότες, οὐδαμῶς. καὶ ἀγαθοποιῶν μὲν τούτους ἰδόντων ἐπὶ συμφέροντι ἀποβήσεται· κακαποιῶν δὲ τοὐναντίον. εἰ δὲ ὁ μὲν ἐπαναφερόμενός ἐστιν, ὁ δὲ ἐπίκεντρος, ἐκ τῆς πλειοψηφίας νόει τὸ ἄμεινον τίς ποιήσει· τριῶν γὰρ ὄντων τῶν τὰς πράξεις διδόντων, τὸν οἰκειούμενον τῷ πράγματι ἰδὲ καὶ τὴν Σελήνην ὁμοίως, καὶ εἰ οὗτοι ἀπέκλιναν, οὐκ ἀνύσουσιν.

[F. 104.] Ζωροάστρου[2] κατὰ Πραξίδικον[3] περὶ πολέμου προσδοκωμένου ἢ κακοῦ τινος, πότε γίνεται.

Σκόπει Ἄρεα, καὶ ἐὰν εὕρῃς αὐτὸν εἰς ἕνα τῶν κέντρων παριόντα, λέγε παρεῖναι τὸν πόλεμον· ἐὰν δὲ Ἄρης ἐν ταῖς ἐπαναφοραῖς τῶν κέντρων ᾖ, ἔσται ὁ πόλεμος μετὰ ... ἡμέρας ἐντὸς μηνός· ἐὰν Ἄρης ἐν τοῖς ἀποκλίμασι, γέγονεν ὁ πόλεμος οὗτος καὶ τὸ προσδοκώμενον κακόν· ἐὰν ἐρωτηθῆς περὶ πολέμου μέλλοντος ἔσεσθαι, ἀρίθμησον τὰς μεταξὺ μοίρας Ἑρμοῦ καὶ Ἄρεως καὶ ἀπόλυσον ἀπὸ Ἄρεως. ὅταν οὖν εἰσέλθῃ ἐν αὐτῷ ὁ Ἄρης, τότε γενήσεται ὁ πόλεμος. οἱ ἀγαθοποιοὶ ἐπὶ πολεμικῆς καταρχῆς εἰς τὰ εὐώνυμα τετράγωνα ἐρχόμενοι κατάλυσιν τοῦ πολέμου σημαίνουσιν.

6 πολεύοντα] πολε (κτ) cod. Editur ex Vaticano, Parisino 2417 f. 35 (= P), Paris. 2417 f. 176' (= p). Contulit Parisinum P. Boudreaux. 16 κατὰ Πραξίδικον om. V. 19 λέγε - πόλεμον] ὁ πόλεμος πάρεστιν Pp. Ἄρης om. V. 20 ᾖ om. Pp. post ἡμέρας numerus dierum excidisse videtur. ἐντὸς μηνός om. V. ἐὰν Ἄρης om. V. 20-21 ἐν δὲ τ. ἀποκλ. V. 21 οὗτος om. V. 21-22 καὶ τὸ προσδοκώμενον κακόν om. Pp. 22 ἐὰν ἐρωτηθῆς περὶ πολέμου μέλλοντος ἔσεσθαι om. V. ἀρίθμησιν P. δέ post ἀρίθμησον add. V. 23 μοίρας om. Pp. πόσαι μοῖραί εἰσιν post Ἄρεως add. Pp. ἀπόλυσον - Ἄρεως] δὸς ταῦτα ἀπὸ μοιρῶν Ἄρεως καὶ βλέπε ποῖος μὴν ἔσχατος καὶ ταῦτα (κάτωντα P) καὶ ὅταν εἰσ. Pp. 24 ὁ post γενήσεται om. Pp. post πόλεμος add. P ἡ ἀμιβολία (l. ἀμφιβολία) ἐν ταύτῃ τῇ ὥρᾳ, p ἡ ἀμφισβήτησις ἐν αὐτῇ τῇ ὥρᾳ.

---

[1] De Sarapione cf. *Catal.*, V, 1, p. 179, n. 2.

[2] De Zoroastre cf. *Catal.*, II, p. 192.

[3] De Praxidico cf. W. Kroll, *Astrologisches* (*Philologus* 57), 1898, p. 133 et O. Crusius, *Accius in Praxidico, ibid.*, p. 643 sqq.

dant, it indicates a return; the same thing is signified also when the lord of the Ascendant and the Moon apply to a retrograde planet.

[F. 102.] Chapter 7. On whether the matter inquired about will come to completion or not, and whether quickly or slowly.

According to Sarapion, observe the one who is governing and administering, and also the lord of the Ascendant and of the Midheaven; for when the greater part or all of them are angular and oriental to the Sun and rising, they bring about a conclusion more quickly; when in succedent houses, they accomplish it slowly; when in declining houses, not at all. And when benefics look upon these, the outcome will be to one's advantage; when malefics do so, the contrary. But if one is in a succedent house and another is angular, understand from the majority which will produce the better result; for there being three that give the course of action, look at the one most closely connected to the matter and likewise the Moon, and if these have declined, they will accomplish nothing.

[F. 104.] From Zoroaster, according to Praxidicus, concerning an expected war or some evil, when it occurs.

Observe Mars, and if you find it entering one of the angles, declare that war is at hand; but if Mars is in the succedent houses of the angles, the war will come after ... days within a month; if Mars is in the cadent houses, this war and the expected evil have already occurred; if you are asked about a war that is about to take place, count the degrees between Mercury and Mars and release them from Mars. When Mars enters into it, then the war will occur. The benefic planets, when coming to the left-hand squares at the beginning of a war, signify the cessation of the war.

KT

6 πολεύοντα] πολε cod. Edited from the Vatican, Parisinus 2417 f. 35 (= P), Paris. 2417 f. 176′ (= p). The Parisinus was collated by P. Boudreaux. 16 κατὰ Πραξίδικον om. V. 19 λέγε - πόλεμον] ὁ πόλεμος πάρεστιν Pp. "Αρης om. V. 20 ἡ om. pp. after ἡμέρας a number of days appears to have fallen out. ἐντός μηνός om. V. ἐὰν "Αρης om. V. 20-21 ἐν δὲ τ. ἀποκλ. V. 21 οὗτος om. V. 91-92 καὶ τὸ προσδοκώμενον κακόν om. Pp. 22 ἐὰν ἐρωτηθῆς περὶ πολέμου μέλλοντος ἔσεσθαι om. V. αριθμησιν P. δέ after αρίθμησον add. V. 23 μοίρας om. Pp. πόσαι μοῖραί εἰσιν after "Αρεως add. Pp. ἀπόλυσον - "Αρεως] δὸς ταῦτα ἀπὸ μοιρών Αρεως καὶ βλέπε ποῖος μὴν ἔσχατος καὶ ταῦτα (κάταντα P) καὶ ὅταν εἰσ. Pp. 24 6 after γενήσεται om. Pp. after πόλεμος add. P ἡ ἀμιβολία (l. ἀμφιβολία) ἐν ταύτῃ τῇ ὥρᾳ, p ἀμφισβήτησις ἐν αὐτῇ τῇ ὥρᾳ.

---

1 On Sarapion cf. Catal., V, 1, p. 179, n. 2.

3 On Zoroaster cf. Catal., II, p. 192.

* On Praxidicus cf. W. Kroll, Astrologisches (Philologus 57), 1898, p. 133 and O. Crusius, Accius in Praridico, ibid., p. 643 sqq.

[F. 104v, cap. ο'.] Περὶ πράξεως καὶ ἄλλως.

Ὁ περὶ πράξεως λόγος καταλαμβάνεται διὰ τὸ ἐν αὐτῇ ὀξὺ ἐκ τῶν ταχεῖαν ἐχόντων τὴν κίνησιν, λέγω Ἄρεως, Ἀφροδίτης καὶ Ἑρμοῦ· οὐ μὴν ἀλλ' ὅτι πᾶσα τέχνη καὶ ἐπιστήμη ἐκ τῶν τριῶν τούτων θεωρεῖται ἀστέρων· τόποι δὲ πρὸς τὰς τούτων ἐπιπαρουσίας χρησιμεύουσιν οἵδε· τὰ δ' κέντρα καὶ αἱ τούτων ἐπαναφοραὶ καὶ τὸ ἀπὸ ὡροσκόπου ἕκτον· προκεκριμένων μέντοι τριῶν, ἐν μὲν τοῖς κέντροις τὸ μεσουράνημα, ἐν δὲ ταῖς ἐπαναφοραῖς τὸ β' ἀπὸ ὡροσκόπου· εἰ δὲ μηδὲ εἷς τῶν εἰρημένων ἀστέρων ἐφ' ἑνὸς τόνδε τὸν τόπον ἵσταται μηδὲ μὴν ἐπὶ τοῦ κλήρου τῆς Τύχης, προσήκει ζητεῖν τίς αὐτῶν τὴν συναφὴν τῆς Σελήνης ἢ τοῦ Ἡλίου ὑποδέδεκται ἢ πρὸ ἑπτὰ ἡμερῶν ἢ μεθ' ἑπτὰ φάσιν τινὰ τύχῃ πεποιημένος· ὃς γὰρ ἂν τούτων τῶν ἀστέρων ἕνα λόγον ἔχων ἢ καὶ πλείους πρὸς τὰ εἰρημένα εὑρεθῇ, ἐκείνου τοῦ ἀστέρος τὸ οἰκεῖον τῆς ἐνεργείας λαμβάνοντας χρὴ τὴν πρᾶξιν ἀποφαίνεσθαι.

Ἄλλως.

Ἐν τῷ περὶ πράξεως λόγῳ κυριώτερος τόπος ἐστὶν ἐν μὲν τοῖς κέντροις τὸ μεσουράνημα, ἐν δὲ ταῖς ἐπαναφοραῖς ὁ βίος ἤτοι τὸ β' ἀπὸ ὡροσκόπου. ὅστις οὖν τῶν γ' ἀστέρων, Ἄρεως, Ἀφροδίτης ἢ Ἑρμοῦ, χρηματίσει εἰς τὸν περὶ πράξεως λόγον, καὶ ὁ τόπος αὐτοῦ συνεργήσει πρὸς τὸ μέγεθος τῆς πράξεως· οἷον ἐν μὲν τῷ μεσουράνηματι ἢ τῷ βίῳ ὁ τοῦ Ἑρμοῦ βελτίους καὶ καθαρὰς παρέχει τέχνας, οἷον σοφιστικήν, ῥητορικήν, γραμματικήν, διδασκαλικήν. ἐν δὲ τοῖς ὑποδεεστέροις λογογράφους, νομικούς, χαμαιδιδασκάλους· ὁ δὲ τοῦ Ἄρεως ποιεῖ στρατηγοὺς ἐν τοῖς κρείττοσι τόποις ἢ στρατιώτας ἢ χρυσοχόους, ἐν δὲ τοῖς χείροσι μαγείρους ἢ κλειδοποιούς· ἡ δὲ Ἀφροδίτη ἐν μὲν τοῖς κρείττοσι ζωγράφους, κιθαριστάς, ὑφαντὰς ποικίλων ἱματίων, ἐν δὲ τοῖς χείροσι θυμελικούς, μίμους καὶ τὰ τοιαῦτα.

[F. 116, cap. ϛβ.] Περὶ ὀνείρων.

Εἰ ἐρωτηθῇς παρά τινος εἰπεῖν αὐτῷ ὃ εἶδεν ἐν ὀνείρῳ, κρατήσας τὴν ὥραν πρῶτα μὲν στῆσον τὸν ὡροσκόπον καὶ τοὺς λοιποὺς τοῦ θέματος τόπους, εἶτα πῆξον τοὺς ἀστέρας, ἐν οἷς ἂν παραπορεύωνται ζῳδίοις καὶ μοίραις καὶ μετὰ ταῦτα ἰδέ, εἰ ἐπὶ τοῦ ἑνάτου τις τῶν πλανητῶν πάρεστι, καὶ ἐκ τῶν δεσποζομένων ὑπ' αὐτοῦ καὶ ἐκ τῶν σημαινομένων ὑπὸ τοῦ τόπου, οὗ κύριός ἐστιν, εἶναι λέγε ὃ ἑώρακεν, εἴτε ζῷον, εἴτε μεταλλικόν, εἴτε φυτὸν καὶ λοιπόν. οἷον εἰ τύχῃ Κρόνος εἶναι ἐπ' αὐτοῦ, ἰδεῖν αὐτὸν λέγε ζῷα φοβερά, οἷον δράκοντας ἢ ὄφεις ἢ ἐλέφαντας. Ἀλλ' εἰ μὲν τοῦ ὀγδόου τόπου κύριός ἐστι, νεκροὺς ἢ

7 προκεκριμμένων cod. 21 ἐν μὲν τὸ μεσουράνημα cod. 36 μεταλικόν cod.
37-38 δράκοντας - ἐλέφαντας] cf. *Catal.*, VII, p. 96, 5 sqq.

[F. 104v, cap. o'.] On Action, another treatment.

The account concerning action is apprehended through what is swift in it, drawing from those planets that have rapid motion — I mean Mars, Venus, and Mercury; moreover, every craft and science is discerned through these three stars. The places that serve for their presences are the following: the four angles and their succedents, and the sixth from the Ascendant. Of these, however, three are preferred: among the angles, the Midheaven, and among the succedents, the second from the Ascendant. But if not even one of the aforementioned stars stands in any one of these places, nor indeed at the Lot of Fortune, one should inquire which of them has received the application of the Moon or the Sun, or has made some appearance either seven days before or seven days after. For whichever of these stars is found to bear one or more such relations to the aforementioned, one must take the characteristic nature of that star's activity and declare the profession accordingly.

15

Another treatment.

In the account concerning action, the most authoritative place among the angles is the Midheaven, and among the succedents, the Bios — that is, the second from the Ascendant. Whichever, then, of the three stars — Mars, Venus, or Mercury — is active in the account concerning action, its place will also contribute to the magnitude of the activity. For example, Mercury in the Midheaven or the Bios provides finer and more refined crafts, such as sophistry, rhetoric, grammar, and teaching; in the inferior places, it produces legal writers, lawyers, and elementary schoolteachers. Mars in the better places produces generals, or soldiers, or goldsmiths; in the worse places, cooks or locksmiths. Venus in the better places produces painters, lyre players, and weavers of embroidered garments; in the worse places, stage performers, mime artists, and the like.

[F. 116, cap. ϛβ.] On Dreams.

If you are asked by someone to tell him what he saw in a dream, fix the hour, and first set up the Ascendant and the remaining places of the figure, then fix the stars in whatever zodiac signs and degrees they are passing through, and after this see if any of the planets is present in the ninth place, and from what is ruled by it and from what is signified by the place of which it is lord, say what he has seen, whether an animal, or something metallic, or a plant, and so on. For example, if Saturn happens to be in that place, say that he saw fearsome creatures, such as dragons or serpents or elephants. But if it is lord of the eighth place, say that he saw dead bodies or

7 special cod. 21 in the middle of the night cod. 36 metallicon cod.n37-38 dragon - Elephant] cf. Catal., VII, p. 96, 5 sqq.

τάφους ἢ λείψανα· εἰ δὲ τῷ δωδεκάτῳ, φόβον παρά τινων ἐχθρῶν καὶ κατάπληξιν αὐτῷ ἐπαγομένην ἰδεῖν λέγε.

Εἰ δὲ τὸν τέταρτον τόπον οἰκοδεσποτεῖ, τόπους ἀβάτους καὶ κρημνοὺς καὶ βάραθρα καὶ ἐξῆς, καθὰ σημαίνουσιν οἱ τόποι, τὴν ἀπόφασιν
5 δίδου.

Εἰ δὲ τύχῃ τὸν Δία εἶναι ἐπ' αὐτοῦ, ἰδεῖν αὐτὸν λέγε βασιλέα ἢ τοπάρχας ἢ ἱερέα ἢ κριτήν· καὶ εἰ μὲν τοῦ ἑνάτου ἢ τοῦ ἕκτου τόπου κύριός ἐστιν, ὑποφαίνου ἰδεῖν αὐτὸν εἰκόνας ἢ ἐκκλησίας ἢ ἱερά τινα σκεύη καὶ εἴδη καὶ ἐξῆς κατὰ τὴν δωδεκάτροπον. εἰ δὲ τύχῃ τὸν Ἄρεα
10 εἶναι ἐπὶ τοῦ τόπου τούτου, ἑώρακεν αἵματα ἢ πόλεμον ἢ στάσιν ἢ ἅρματα καὶ ὅπλα ἢ κρέατα ἢ πωλία ἢ θηρία. εἰ δέ ἐστιν Ἀφροδίτη ἐπ' αὐτοῦ δὴ τοῦ ἑνάτου, γυναικεῖον κόσμον ἢ λίθον τίμιον καὶ μαργαρίτας ἢ ἀρώματα καὶ μυριστικὰ ἢ γυναῖκας ἢ ἀδελφοὺς ἢ χοροὺς καὶ παίγνια. εἰ δὲ Ἑρμῆς, νοταρίους ἢ βιβλία καὶ γράμματα ἢ ἀργυρᾶ νομίσματα
15 ἢ ποικίλματα καὶ ζωγραφίας. εἰ δὲ ὁ Ἥλιος, ὑπηνέμιον φέρεσθαι τοῦτόν φασι καὶ ὑψοῦσθαι ἢ φῶτα ἢ ἕτερά [f. 116v] τινα λαμπρὰ καὶ δι' αὐγῶν ἰδεῖν. εἰ δὲ ἐφεδρεύει ἡ Σελήνη ἐπὶ τοῦδε τοῦ τόπου, ποταμὸν ἢ θαλάσσας ἢ πηγὴν ἢ μητέρα καὶ γυναῖκα γραῖδα· εἰ δὲ μηδεὶς τῶν ἀστέρων τὴν πορείαν ποιῶν εὑρίσκεται ἐπὶ τοῦ θ' κατὰ τὴν πεύσεως
20 ὥραν, ὅρα τὸν ὄντα ἐπὶ τοῦ ὑπογείου· εἰ δὲ οὐδὲ ἐπὶ τούτου, ἰδὲ τὸν ἐπὶ τοῦ ὡροσκόπου ἢ τοῦ μεσουρανήματος ἢ τοῦ δύνοντος ἢ τοῦ τρίτου λάμβανε καὶ κατὰ τὴν κρίσιν τῶν ἐπὶ τοῦ ἑνάτου τυχόντων. τεκμαίρου καὶ ἐπὶ τούτων καὶ ἐπ' ἀγαθὸν μὲν τὸ ὅραμα γενέσθαι, ἐπὰν οἱ κύριοι τοῦ ἑνάτου καὶ τοῦ τρίτου καλῶς ἵστανται καὶ ὑπὸ ἀγαθο-
25 ποιῶν ὁρῶνται· ἐπὶ κακῷ δὲ καὶ βλάβῃ, ὅταν τοὐναντίον κακῶς κείμενοι ὦσι κατὰ τὸ κοσμικὸν καὶ ὑπὸ κακοποιῶν ὁρῶνται.

Χρηματιστικὰς δὲ ἡμέρας ἐν ὀνείροις οἱ παλαιοὶ Αἰγύπτιοι ἐπετήρησαν τὴν πρώτην ἡμέραν ἀπὸ συνόδου· τὴν δὲ δευτέραν καὶ τὴν τρίτην οὐκ ἐπιτηδείας· λυπηρὰ γάρ τὰ θεαθέντα· τετάρτῃ δὲ καὶ
30 πέμπτῃ καὶ ἕκτῃ ἀποβαίνειν τὰ ὀφθέντα· τῇ δὲ ἑβδόμῃ ἐν τέσσαρσιν ἡμέραις ἀποβαίνειν, ἐν δὲ τῇ ὀγδόῃ, χρόνῳ· ἐν δὲ τῇ ἑνάτῃ, ἀνεκβάτους τοὺς ὀνείρους εἶναι· ἐν δὲ τῇ δεκάτῃ καὶ ἑνδεκάτῃ, εἴσω τεσσάρων ἡμερῶν· ὁμοίως δωδεκαταίας οὔσης καὶ τρισκαιδεκαταίας μετὰ τοῦ καὶ αἰσίως· ἡ δεκάτη καὶ τετάρτη ἱλαρίας σημαντική· ἡ
35 δεκάτη καὶ πέμπτη ἔμπρακτος μέν, ἐπιβλαβὴς δέ· ἡ δεκάτη καὶ ἕκτη, δεκάτη καὶ ἑβδόμη, δεκάτη καὶ ὀγδόη, δεκάτη καὶ ἑνάτη ἐπιτελοῦσι τὰ ὀφθέντα εἴσω ἡμερῶν δέκα· ἡ δὲ εἰκὰς <καὶ> μία καὶ εἰκὰς κοινή, ἡ δὲ δευτέρα καὶ εἰκὰς περὶ χρῆμα ἐπιτελεῖ τὰ τοῦ ὀνείρου· ἡ τρίτη καὶ εἰκὰς

2 ἐπαγόμενον cod. 9 δωδεκάτροπον] cf. Boll, *Sphaera*, 310, 5; Heeg, *Die angebl. Orph.* Ἔργα κ. Ἡμ. 63, 1. 10 εἶναι om. cod. 11 θηρία corr. ex πηρία. 14 ἀργυρὰ καὶ νομίσματα cod. 15 ὑπινέμιον cod. 22 καὶ λάμβανε κ.τ. κρ. <ἀντὶ> Boll. 24 ἵστανται cod. 35 ἡ addidi. 37 καί add. Boll. 38 δευτέρα corr. ex β' cod.

tombs or remains; but if it is in the twelfth, say that he saw fear coming upon him from certain enemies and a terrifying vision brought upon him.

If it is lord of the fourth place, give the judgment that he saw inaccessible places and precipices and chasms and the like, in accordance with what the places signify.

The Egyptians say: when a question arises concerning the departure of a certain person, know that the Ascendant and its lord and the Moon [and its lord] signify the body of the person and the soul and the journey, while the seventh place and its lord signify the land to which he intends to go, and the Lot of Fortune and its lord signify the people of that country to which he is travelling, and if you wish to learn whether they will receive him well or not; the Midheaven and its lord signify what he desires and why he is going to that country, and from the fourth angle and its lord take the outcome of the venture. If, then, the Ascendant and its lord and the Moon together with its lord are in good condition, such a person will also be healthy in body for as long as he travels to that country. And if you find the seventh place and its lord and the Lot of Fortune together with its lord in good condition and in favorable places, say that such a person in that country to which he is going will be loved and honored by all and will fare well for as long as he remains there.And if you find the Midheaven and its lord in good condition, say that the matter about which he inquires will be fulfilled and that he will suffer no opposition whatsoever from the ruler of that country, nor will he fall ill, and the desire of his heart will be fulfilled in that land; and if the fourth place and its lord are in good condition, the outcome too will be favorable. But if in such a place you find a malefic, declare the opposite.

<Greek.>

Concerning the return and the time thereof, the Greeks say: The return is indicated by the two luminaries, the Ascendant, its ruler, and the ruler of the fourth. See which of these has the stronger significance for such a question. And trace the course of that star toward a benefic and toward a malefic; and when it moves toward a benefic, say that the person in question returns; but if toward a malefic, say that the person in question wishes to return, but is unable.

Of the Indians.

The Indians say: look to those having the greater significance in the question. And look especially at the Sun and at its right and left

1 about Egypt cod. 2 is made ex corr. 4 and his master inclus. (dittogr.)nBoll. post declaration about videtur deletum esse ἀνος'. 11 receive the ex corr.n19 ἐγαθυνομένους corr. ex -inumenes. 21 get sick corr. man. altera ex noesis.n23 ἐν addidi.

τετράγωνον αὐτοῦ. εἰ μὲν οὖν εὕρῃς κακοποιὸν εἰς τὸ τετράγωνον αὐτοῦ καὶ ἐρωτηθῇς περὶ ἐπανελεύσεως ἀποδημοῦντος, [f. 154] ὁ τοιοῦτος οὐ δύναται ἐξελθεῖν ἀπὸ τοῦ τόπου ἐκείνου, εἰ μὴ καὶ ἀγαθοποιοὶ βλέπουσιν ἐν τῷ τόπῳ ἐκείνῳ, ᾗ στρέφεται, ὅτε ἐξέλθῃ ὁ Ἥλιος
5 ἀπὸ τοῦ Ζῳδίου, ἐν ᾧ ἐστιν ἡ τοῦ τετραγώνου τοῦ κακοποιοῦ ἢ ὅτε φθάσει ὁ Ἥλιος ἐν ἐκείνῳ τῷ τόπῳ, ἐν ᾧ ἦν ὁ κακοποιός.

Τῶν Περσῶν.

Λέγουσιν οἱ Πέρσαι· ἐὰν ἐρωτηθῇς δι' ἄνθρωπον διελθόντα, εἰς ποῖον μέρος ἀπῆλθε τῆς οἰκουμένης, ἰδὲ τὸν ἔχοντα πλείονα λόγον εἰς
10 τὴν ἐρώτησιν ἀπὸ τοῦ κυρίου τοῦ ὡροσκόπου καὶ τοῦ κυρίου τῆς Σελήνης. καὶ μετὰ τὸ εὑρεῖν τοῦτον, ἐν ποίῳ Ζῳδίῳ κεῖται, [καὶ] εἰ μέν ἐστιν ἀνατολικὸν ἐκεῖνο τὸ Ζῴδιον, λέγε ὅτι εἰς ἀνατολὴν ἀπῆλθεν· εἰ δὲ δυτικόν, εἰς δύσιν· εἰ δὲ ἀρκτῷον, εἰς ἄρκτον· εἰ δὲ μεσημβρινόν, εἰς μεσημβρίαν. εἰ δὲ καὶ τὸν δηλωτικὸν ἀστέρα τοῦ τοιούτου τόπου
15 εὑρήσεις ἐν τῷ δεξιῷ τετραγώνῳ τοῦ Ἡλίου, λέγε, ὅτι εἰς τὸ τοιοῦτον μέρος μάλιστα ἀπῆλθεν.

Αἰγυπτίων.

Λέγουσιν οἱ Αἰγύπτιοι· εἰ μὲν εὕρῃς τὸν κύριον τῆς Σελήνης καὶ τὸν κύριον τοῦ ὡροσκόπου εἰς ἓν Ζῴδιον, γίνωσκε ὅτι ἐντεῦθεν
20 δηλοῦται ὅ τε τόπος καὶ τὸ μέρος, εἰς ὃ ἀπῆλθεν ὁ ἐξελθών.

Λέγει ὁ Οὐάλης· ἔλεγεν εἷς ἀπὸ τῶν ἐπισήμων Αἰγυπτίων μαθηματικῶν· ἰδὲ τὸν ἔχοντα πλείονα λόγον ἐν τῇ ἐρωτήσει ἀστέρα, εἰς ποῖον Ζῴδιον κεῖται, καὶ κρῖναι ἀπὸ τοῦ τοιούτου Ζῳδίου τὸ μέρος, εἰς ὃ ἀπῆλθε.

25

Περσῶν.

Λέγουσιν οἱ Πέρσαι· βλέπε τοὺς ἀστέρας τοὺς ἔχοντας εἰς τὴν ἐρώτησιν δύναμιν καὶ μαρτυρίας. καὶ εἰ μὲν ὦσιν εἰς τὰς ἐπαναφορὰς τῶν δύο κέντρων τοῦ ὡροσκόπου καὶ τοῦ μεσουρανήματος, γίνωσκε, ὅτι οὐκ ἐπεχείρησε τῇ ὑποθέσει ταύτῃ περὶ ἧς ἡ ἐρώτησις γέγονε πρὸ
30 τῆς ἡμέρας τῆς ἐρωτήσεως. εἰ δὲ ἐν τοῖς ἀποκλίμασι τῶν δύο τούτων κέντρων, γίνωσκε, ὅτι ἐπεχείρησε πρὸ τῆς ἡμέρας τῆς ἐρωτήσεως.

2 ἠρωτήθης cod. 3 τοιοῦτος corr. ex τοίοῦτον. 11 καί uncinis seclusi. 13 et 14 δυτικός et ἀρκτῶος cod. μεσημβρηνός cod. 20 ὅ τε] ὅτι cod. 22 ἀστέρα] ἀστέρων cod. 27 ἐπαναφοράς ex corr.

square. If then you find a malefic in its square and you are asked about the return of one who is abroad, [f. 154] such a person cannot depart from that place, unless benefics also aspect that place to which he returns — when the Sun exits the sign in which the square of the malefic is located, or when the Sun reaches that place where the malefic was.

Of the Persians.

The Persians say: if you are asked about a person who has departed, to what part of the inhabited world they have gone, look at the one having greater influence in the question from the lord of the Ascendant and the lord of the Moon. And after finding this one, in what sign it is placed, [and] if that sign is eastern, say that they have gone to the east; if western, to the west; if northern, to the north; if southern, to the south. And if you also find the star indicating such a place in the right square of the Sun, say that they have gone most especially to that part.

of the Egyptians.

The Egyptians say: if you find the lord of the Moon and the lord of the Ascendant in one sign, know that from this is indicated both the place and the direction to which the departed one has gone.

Valens says: one of the distinguished Egyptian astrologers used to say: look at the star having the greatest influence in the question, in what sign it is placed, and judge from that sign the direction to which the person has gone.

25 Of the Persians.

The Persians say: look at the stars having power and testimony in the question. And if they are in the succedent houses of the two angles of the Ascendant and the Midheaven, know that the person did not undertake this matter about which the question was asked before the day of the question. But if they are in the cadent houses of these two angles, know that the person undertook it before the day of the question.

2 you were asked cod. 3 of that corr. ex that. 11 and uncinis seclusi.n13 et 14 διτικός et ἀρκτῶος cod. meridian cod. 20 6 te] that cod. 22 stars cod. 27 reinstatement ex corr.

[F. 154.] Παρεξεβλήθησαν λόγοι τοῦ Δωροθέου ἀπὸ βίβλου Σαρακηνικῆς ἔχοντες οὕτως[1].

Ἐνδέχεται εἰς πᾶσαν καταρχὴν βασιλέως ἢ ἀρχηγοῦ τινος ἢ ἑτέρου οἱουδήτινος ἀνθρώπου ἢ ἐπιχειρήσεως κτίσματος, ἵνα αὐξιφωτεῖ ἡ Σελήνη καὶ προστίθεται τοῖς ἀριθμοῖς βορεία τε οὖσα καὶ συνάπτουσα τῷ Διὶ ἢ τῇ Ἀφροδίτῃ. παρατηρεῖν δὲ δεῖ τὸ μὴ συνάπτεσθαι παρ' αὐτῆς τὸν Κρόνον· δηλοῖ γὰρ δυσχέρειαν ἐπὶ τῇ καταρχομένῃ πράξει καὶ ἐπὶ τῇ περί τινος ὑποθέσεως γενομένῃ ἐρωτήσει. εἰ δὲ ἡ Σελήνη συνοδεύει τῷ Ἄρει ἢ συσχηματίζει ἐπὶ καταρχῆς κτίσματός τινος, ἐπισυμβήσεται ἐμπρησμὸς ἢ χαλασμὸς ἢ πόλεμος, ἐὰν ἡ καταρχή ἐστι βασιλέως ἐπιχείρησις.

Δεῖ δέ σε παρατηρεῖν εἰς πᾶσαν καταρχὴν τὴν ἔκλειψιν τῆς Σελήνης καὶ τὰς λοιπὰς τῆς Σελήνης κακώσεις καὶ μᾶλλον, ἐὰν ἡ τοιαύτη γένηται ἔκλειψις, ἐν ᾧ ζῳδίῳ ἐστὶ κατὰ τὸν τῆς γεννήσεως καιρὸν ἢ ἐν τῷ τοιούτῳ τριγώνῳ ἢ τετραγώνῳ ἢ ὅτε ἐστὶν ὕπαυγος [f. 154v] ἢ ὅτε διαμετροῦσα τὸν Ἥλιον ἢ ὅτε συνοδεύει τῷ Καταβιβάζοντι ἢ τῷ Ἀναβιβάζοντι καὶ ὅτε ἐστὶν ἐν τῇ μοίρᾳ τοῦ δωδεκατημορίου τοῦ Κρόνου ἢ τοῦ Ἄρεως καὶ ὅτε συνοδεύει τινὶ τῶν κακοποιῶν ἢ ὁρᾷ τοῦτον δι' ἑνὸς τῶν λοιπῶν τεσσάρων σχημάτων καὶ ὅτε ἀπὸ τοῦ βορείου μέρους ἀπέρχεται πρὸς τὸ νότιον καὶ ὅτε ὁ δρόμος αὐτῆς ἐστιν ἥττων τῶν δώδεκα μοιρῶν. πολλοὶ γὰρ τούτου τοῦ δρόμου αὐτῆς καταφρονοῦσι· καὶ γίνεται βλάβη μεγάλη διὰ τὸ τοὺς παλαιοὺς εἰπεῖν παρόμοιον εἶναι αὐτὸ τῆς βραδυτῆτος τοῦ Κρόνου κινήσεως· καὶ ὅστις ἐν τοιούτῳ καιρῷ κατάρξηταί τινος, εὑρήσει ἐμποδισμὸν καὶ δυσχέρειαν καὶ βραδυτῆτα ἐπὶ τῇ τοιαύτῃ δουλείᾳ.

Δεῖ οὖν μηδὲ ἐν ταῖς τελευταίαις μοίραις τῶν ζῳδίων τὴν Σελήνην εἶναι. εἰ δὲ εὑρεθῇ ἀπὸ τοῦ μεσουρανήματος κατερχομένη ἐπὶ τὸν θ', φθαρήσεται ἡ δουλεία ἐκείνη καὶ οὐ τελεσθήσεται. παριστῶ σοι δὲ ἐπὶ τοῦτο καὶ ὑπόδειγμα· οἷον ὅτι ἔτυχε τὸ μεσουράνημα Αἰγόκερω μοῖρα ι' καὶ ὁ θ' τόπος Τοξότου μοῖρα ιε' καὶ εὑρέθη ἡ Σελήνη μέσον τῆς ιε' μοίρας τοῦ Τοξότου καὶ τῆς ι' τοῦ Αἰγόκερω καὶ ἔδοξεν εἶναι αὐτὴν ἠσθενημένην καὶ τεταπεινωμένην ὥσπερ ἂν ὑπῆρχεν ἐπὶ τῷ τέλει τοῦ Ζυγοῦ καὶ ἐπὶ τὴν ἀρχὴν τοῦ Σκορπίου.

Εἰ δὲ καὶ ἐπέλθοι σοι κατεπείγουσά τις καταρχὴ καὶ οὐκ ἔχεις πλατυσμὸν καιροῦ, φρόντισον ἵνα θήσεις τὸν ἕνα ἀγαθοποιὸν εἰς τὸν ὡροσκόπον καὶ τὸν ἕτερον εἰς τὸ μεσουράνημα διὰ τὸ τοὺς ἀγαθο-

15 τοιούτῳ τοῦ cod. 26 τελευταίοις cod.

[1] De libris Dorothei in arabicam linguam versis, cf. Roeper, *Lectiones Abulpharagianae*, Danzig. 1844, p. 43 ss., Engelbrecht, *Hephaestion von Theben*, 1887, p. 31 ss.

[F. 154.] Passages of Dorotheus were excerpted from a Saracen book, containing the following.

It is fitting, for every inception of a king or some ruler or any other person, or of the undertaking of a construction, that the Moon be waxing in light and increasing in numbers, being northern and applying to Jupiter or to Venus. One must also take care that Saturn not be applied to by her; for this indicates difficulty in the matter being commenced and in the question made concerning some subject. But if the Moon is in conjunction with Mars or configured with him at the inception of some construction, there will follow a fire or a collapse or war, if the inception is an undertaking of a king.

You must observe, for every inception, the eclipse of the Moon and the other afflictions of the Moon, and especially if such an eclipse occurs in the sign in which it was at the time of the nativity, or in the sign trine or square to it, or when she is under the Sun's beams [f. 154v], or when she is in opposition to the Sun, or when she is in conjunction with the Descending Node or the Ascending Node, and when she is in the degree of the twelfth-part of Saturn or of Mars, and when she is in conjunction with one of the malefics or beholds it by one of the remaining four aspects, and when she departs from the northern region toward the southern, and when her course is less than twelve degrees. For many disregard this matter of her course; yet great harm results therefrom, because the ancients said it is comparable to the slowness of Saturn's motion; and whoever begins something at such a time will find obstruction and difficulty and slowness in that undertaking.

Therefore, the Moon must not be in the last degrees of the zodiac signs. But if she is found descending from the Midheaven toward the ninth place, that undertaking will be ruined and will not be completed. I will set before you an example of this: suppose the Midheaven happened to be at the 10th degree of Capricorn and the ninth place at the 15th degree of Sagittarius, and the Moon was found midway between the 15th degree of Sagittarius and the 10th degree of Capricorn — she would appear to be weakened and debased, just as she would be at the end of Libra and the beginning of Scorpio.

But if an urgent inception presses upon you and you have no latitude of time, take care to place one of the benefics in the Ascendant and the other in the Midheaven, so that the bene-

15 of cod. 26 last cod.

1 On the books of Dorotheus translated into Arabic, cf. Roeper, Lectiones Abulpharagianae, Danzig. 1844, p. 43 ff., Engelbrecht, Hephaestion von Theben, 1887, p. 31 ff.

ποιοὺς ἀποδιώκειν τὴν βλάβην τῶν κακοποιῶν ἢ ὕφεσιν τοῦ κακοῦ σημαίνειν.

Δεῖ οὖν ἀναδιδάξαι σε καὶ τὰς τῶν ἀστέρων κακώσεις· πρωτοτύπως γὰρ κακόν ἐστι τὸ εἶναι τὸν ἀστέρα ὕπαυγον. καὶ πρόσεχε ἵνα μὴ ὁ ὕπαυγος ἀστὴρ ἢ ὁ ὑποποδίζων κυριεύει τοῦ ὡροσκόπου, ἵνα μηδὲ ᾖ ἐπὶ τῷ τέλει τοῦ Ζυγοῦ καὶ τῇ ἀρχῇ τοῦ Σκορπίου ἢ ἐν ἀποκλίματι ἢ συνοδεύει τινὶ τῶν κακοποιῶν ἢ ἑξαγωνίζει ἢ τετραγωνίζει ἢ τριγωνίζει ἢ διαμετρεῖ. ἐν τοιούτῳ γὰρ καιρῷ εἰ καταρχθῇ δουλείας, οὐ τελεσθήσεται. ἀλλ' οὐδὲ ἐν τῷ Αἰγοκέρωτι συμφέρει εἶναι τὴν Σελήνην τῷ ἐναντιώματι αὐτῆς· χεῖρον δὲ κακόν ἐστι τὸ τὴν Σελήνην ἀπορρεῖν κακοποιοῦ καὶ συνάπτειν κακοποιῷ.

Κακὸν δέ ἐστι καὶ τὸ ἐν ἑνὶ ζῳδίῳ ἐμπεριέχεσθαι τὸν ἀστέρα ὑπὸ τῶν δύο κακοποιῶν, ὡσαύτως καὶ ὅτε ὁ ἀστὴρ ζῳδιακῶς ἐμπεριέχεται, ἤγουν αὐτὸς μέν, ἵνα ᾖ ἐν τῷ ὡροσκόπῳ, ὁ δὲ εἷς κακοποιὸς ἐν τῷ δευτέρῳ τόπῳ καὶ ὁ ἕτερος ἐν τῷ δωδεκάτῳ τόπῳ. τὸ αὐτὸ γοῦν ἐστι καὶ ὅτε τὸ ὡροσκοποῦν ζῴδιον ἢ ἕτερόν τι ζῴδιον ἔχει ἕνα κακοποιὸν ἐν τῷ δευτέρῳ αὐτῷ ζῳδίῳ καὶ ἕτερον ἐν τῷ δωδεκάτῳ. ἰσχυροτέρα δὲ κάκωσίς ἐστιν, ὅτε ἐν τῇ τοιαύτῃ ἐμπεριοχῇ οὐ φθάνει ἀκτῖνα τοῦ Ἡλίου ἢ ἑνὸς τῶν δύο ἀγαθοποιῶν ἐντὸς ἑπτὰ μοιρῶν· τοῦτο γὰρ τὸ κακὸν παγκάκιστόν ἐστιν.

Εἰ δὲ καὶ ἐμπερισχεθῇ ἀστὴρ ἢ ζῴδιον τοιουτότροπον ὑπὸ τῶν δύο κακοποιῶν, ἐστὶ πάνυ κάλλιστον καὶ εὐτυχίας δηλωτικόν. ὁ δὲ Καταβιβάζων καὶ ὁ Ἀναβιβάζων βλάπτουσι τὸν Ἥλιον καὶ τὴν Σελήνην.

Οἱ δὲ Βαβυλώνιοι καὶ οἱ ἐν τοῖς ἀνατολικοῖς μέρεσιν οἰκοῦντες εἶπον ὅτι ὁ Καταβιβάζων μετὰ τῶν ἀγαθοποιῶν ἀγαθοποιός ἐστι καὶ μετὰ τῶν κακοποιῶν κακοποιός, ὁ δὲ Ἀναβιβάζων μετὰ τῶν ἀγαθοποιῶν κακὸς καὶ μετὰ τῶν κακοποιῶν καλός.

Ὁ Δωρόθεος πρὸς τούτοις λέγει καὶ τοῦτο ὅτι ἡ ἐν τοῖς γενεθλίοις φθορὰ τῶν ἀστέρων τοιουτοτρόπως γίνεται· ὅτε ὁ ἀστὴρ ὑπάρχει ὕπαυγος ἢ μεθ' ἑνὸς τῶν συνδέσμων ἢ μέσον τῶν δύο κακοποιῶν ἢ ὅτε κενοδρομεῖ καὶ οὐ συνάπτει τινὶ τῶν ἀστέρων καὶ ὅτε ὑπάρχει ἐν ἑνὶ τῶν δύο φαύλων ἀποκλιμάτων, τῷ ἕκτῳ δηλονότι καὶ τῷ δωδεκάτῳ καὶ ὅτε ᾖ ὑποποδισμένος.

Ὁ αὐτὸς Δωρόθεος εἶπε καὶ ἕτερά τινα κεφάλαια διάφορα περὶ τῆς τῶν ἀστέρων ἀσθενείας καὶ δυνάμεως τῶν μαρτυριῶν τούτων· ὅσα δὴ καὶ ὁ σοφὸς Μούγνης εἶπε καὶ διὰ [f. 155] τοῦτο περιττὸν ἔδοξεν ἡμῖν ἀπογράψασθαι καὶ ταῦτα ἐνταῦθα.

Ὁ αὐτὸς Δωρόθεος πρὸς τούτοις εἶπεν ὡς, ἐὰν ὁ κύριος τοῦ ὡροσκόπου εὑρεθῇ ἀκάκωτος καὶ μὴ ὕπαυγος, δηλοῖ ἐπιτυχίαν τῆς δουλείας. εἰ δὲ ἐν τῇ δυνάμει αὐτοῦ ὢν ὁ ἀστὴρ συναντήσει κακοποιῷ,

3 σε] σοι cod. 6 τὴν ἀρχήν cod. 21 ante εἰ δὲ nonnulla excidisse videntur. 22 κάλιστον cod.

fics drive away the harm of the malefics or signify an abatement of the evil.

It is therefore necessary to instruct you also in the afflictions of the stars; for it is primarily an evil for a star to be under the rays. And take care that a star under the rays or one that is retrograde does not rule the Ascendant, and that it is not at the end of Libra and the beginning of Scorpio, nor in a declining house, nor conjoining one of the malefics, nor in sextile, square, trine, or opposition to them — for if an undertaking is begun at such a time, it will not be completed. Nor is it advantageous for the Moon to be in Capricorn, because of her depression there; but a worse evil is when the Moon separates from a malefic and applies to another malefic.

It is also bad when a planet is enclosed within a single sign by the two malefics, and likewise when the planet is enclosed zodiacally — that is, when it is in the Ascendant, one malefic is in the second house, and the other is in the twelfth house. The same applies when the ascending sign or any other sign has one malefic in its second sign and another in its twelfth. The affliction is stronger when, in such an enclosure, no ray of the Sun or of either of the two benefics reaches within seven degrees; for this evil is the most utterly malign.

But if a planet or sign is enclosed in such a manner by the two benefics, it is altogether excellent and indicative of good fortune. The Descending Node and the Ascending Node harm the Sun and the Moon.

The Babylonians and those dwelling in the eastern regions said that the Descending Node is benefic with the benefics and malefic with the malefics, while the Ascending Node is harmful with the benefics and favorable with the malefics.

Dorotheus further states that the corruption of planets in nativities comes about in the following ways: when a planet is under the rays of the Sun, or is with one of the nodes, or is between the two malefics, or when it is void of course and does not apply to any of the planets, and when it is in one of the two inferior declining houses — namely the sixth and the twelfth — and when it is in retrogradation.

The same Dorotheus also stated certain other various chapters concerning the weakness and strength of the testimonies of the stars; which indeed the wise Mougnes also stated, and for this reason it seemed superfluous to us to record these things here as well.

The same Dorotheus further stated that, if the lord of the Ascendant is found unafflicted and not under the rays of the Sun, it indicates success in the matter. But if the star, while in its own power, encounters a malefic,

3 to] his. 6 in principle cod. 21 ante el dè nonnulla excidisse videntur.n22 well cod.

γενήσεται ἀποτυχία μετὰ τὴν ἐπιτυχίαν. εἰ δὲ καὶ ἡ Σελήνη ἐν τοῖς φαύλοις εὑρεθῇ ἀποκλίμασιν, ἀναμφίβολον ἔχε τὴν ἀποτυχίαν.

Λέγει ὁ αὐτὸς Δωρόθεος καὶ τοῦτο· τὰ πράγματα τοῦ γηίνου κόσμου τούτου γίνονται μὲν καὶ ἀπογίνονται. αἰτία δὲ <ἐκ> τῆς φύσεως τῶν ἐν τῷ οὐρανῷ ζῳδίων καὶ ἀστέρων ἀπό τε τοῦ συσχηματισμοῦ αὐτῶν πρὸς ἀλλήλους καὶ τῆς τούτων ἀπορροίας καὶ τοῦ χρηματιστικοῦ τούτων καὶ ἀχρηματίστου καὶ τῆς τούτων δυνάμεως προνοίᾳ καὶ οἰκονομίᾳ τοῦ δημιουργοῦ. καὶ ἐὰν εὑρεθῇ ὁ ἀστὴρ ἐν κέντρῳ ἢ ἐπαναφορᾷ κέντρου, σημεῖόν ἐστιν ἐπιτυχίας τῆς δουλείας. εἰ δὲ ἐν τοῖς δυσὶ φαύλοις ἀποκλίμασιν εὑρεθῇ, σημεῖόν ἐστιν ἀποτυχίας. καὶ πρόσεχε εἰς πᾶσαν καταρχήν, ἵνα μήτε ὁ κύριος τοῦ ὡροσκόπου μήτε ὁ κύριος τῆς δουλείας συνάπτει ἀστέρι ὑποποδισμένῳ ἢ ὑπαύγῳ· ἀσθενὴς γὰρ ὢν ὁ τοιοῦτος ἀστὴρ ἀποστρέφει τὰς ἀκτῖνας τοῦ συνάπτοντος αὐτῷ ἀστέρος καὶ οὐ προσδέχεται αὐτὰς διὰ τὴν τούτου ἀσθένειαν. χεῖρον δέ ἐστι τὸ τὸν ἀστέρα εἶναι ἐν ἀποκλίματι καὶ συνάπτειν ἀστέρι ὄντι αὐτῷ ἐν ἀποκλίματι· δηλοῖ γὰρ τοῦτο τὸ τὴν δουλείαν μήτε ἀρχὴν ἔχειν μήτε τέλος.

Καλόν ἐστι τὸ χρήσασθαί σε τοῖς ἡμερινοῖς ἀστράσιν ἐπὶ δουλείαις μελλούσαις ἐν ἡμέρᾳ καταρχθῆναι, τοῖς δὲ νυκτερινοῖς ἐπὶ δουλείαις μελλούσαις ἐν νυκτὶ καταρχθῆναι. Καλὸν δέ ἐστι καὶ τὸ τὸν ἀστέρα εἶναι ἐν οἰκείᾳ αἱρέσει, ἤγουν τὸ εἶναι τὸν ἡμερινὸν ἀστέρα ἐν ἡμέρᾳ ὑπὲρ γῆν ἐν ζῳδίῳ ἀρρενικῷ, τὸν δὲ νυκτερινὸν ἀστέρα ἐν νυκτὶ ὑπὸ γῆν ἐν ζῳδίῳ θηλυκῷ.

Ἡ δύναμις δὲ τοῦ Διός, τοῦ Κρόνου καὶ τοῦ Ἄρεως τότε ἐστίν, ὅτε ὑπάρχουσιν ἀνατολικοί, τῆς δὲ Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ ὅτε εἰσὶ δυτικοί. ἕκαστος δὲ τῶν ἀστέρων πάλιν ἰδίαν ἔχει δύναμιν αὖθις, ὅτε τέ ἐστιν ἐν τῷ ἰδίῳ οἴκῳ ἢ τῷ ὑψώματι ἢ τῷ τριγώνῳ ἢ τῷ ὁρίῳ καὶ τῇ οἰκείᾳ αἱρέσει καὶ ὅτε ταχυδρομεῖ καὶ ὅτε ἐστὶν ἐν κέντρῳ ἢ ἐπαναφορᾷ κέντρου καὶ ὅτε ἀνέρχεται κατὰ πλάτος πρὸς βορρὰν καὶ ὅτε ἐστὶν ἀκάκωτος ὡς προεδηλώσαμεν. εἰ δὲ εὑρεθῇ ὁ ἀστὴρ δυτικὸς ἢ ὑποποδισμένος ἢ ὕπαυγος, ἐστὶν ἀσθενής.

[F. 156.] Τοῦ Ῥητορίου[1].

Πρὸς τὸν Ἄρεα τρίγωνος ὢν ὁ Κρόνος εὐπορίας καὶ εὐπραγίας καὶ ἀρχῆς ποιητικός ἐστι. τὰ γὰρ τρίγωνα καὶ αἱ συμπαρουσίαι τῶν σχημάτων τῶν μὲν ἀγαθοποιῶν τὴν δύναμιν ἐπιτείνουσι, τῶν δὲ φθορο-

3 γηίνου] γίνου cod. 3-8 haec potius Christiani cuiusdam esse quam Dorothei adnotat Boll. 4 ἐκ add. Cumont. 18 ἀστῆρσιν cod. 19 τοὺς δὲ νυκτερινούς cod. 22 ὑπό ex ὑπέρ corr. cod.

[1] De Rhetorio cf. Boll, *Catal.*, I, p. 141 seq. et *Sphaeram*, p. 11 sqq.

failure will occur after the success. And if the Moon is also found in the unfavorable declining houses, consider the failure to be beyond doubt.

The same Dorotheus also says this: the affairs of this earthly world come into being and pass away. The cause derives from the nature of the zodiac signs and stars in the heavens, and from their configurations with one another, and from their separation, and from their being active or inactive, and from their power, by the providence and governance of the creator. And if the star is found in an angle or in the succedent of an angle, it is a sign of success in the matter. But if it is found in the two unfavorable declining houses, it is a sign of failure. And pay attention in every inception, so that neither the lord of the Ascendant nor the lord of the matter applies to a star that is retrograde or under the rays of the Sun; for such a star, being weak, turns away the rays of the star applying to it and does not receive them on account of its weakness. But it is worse for the star to be in a declining house and to apply to a star that is itself also in a declining house; for this indicates that the matter has neither beginning nor end.

It is good to use the diurnal stars for undertakings intended to be begun during the day, and the nocturnal stars for undertakings intended to be begun during the night. It is also good for the star to be in its proper sect, that is, for the diurnal star to be during the day above the earth in a masculine sign, and for the nocturnal star to be during the night below the earth in a feminine sign.

The power of Jupiter, Saturn, and Mars is at its peak when they are oriental, and that of Venus and Mercury when they are occidental. Each of the stars again has its own particular power when it is in its own house, or in its exaltation, or in its triplicity, or in its term, and in its proper sect, and when it is moving swiftly, and when it is in an angle or in the succedent of an angle, and when it is advancing northward in latitude, and when it is unafflicted as we have previously indicated. But if the star is found to be occidental, or retrograde, or under the rays, it is weak.

[F. 156.] From Rhetorius.

Saturn in trine to Mars is productive of prosperity, success, and authority. For trines and conjunctions of configurations intensify the power of the benefic planets, while of the malefic

3 γηίνου] γίνου cod. 3–8 Boll notes that these passages seem to belong to some Christian author rather than to Dorotheus. 4 ex added by Cumont. 18 ἀστήρσιν cod. 19 τοὺς δὲ νυκτερινούς cod. 22 ὑπό corrected from ὑπέρ in the manuscript.

On Rhetorius see Boll, Catal., I, p. 141 seq. and Sphaeram, p. 11 sqq.

ποιῶν τὴν κακίαν ἀμβλύνουσιν. ὅθεν κἂν ὁ Ζεὺς μὴ ὁρᾷ, εὐπραγοῦσι, πλὴν πρεσβυτέρων ἀδελφῶν ὁρῶσι τελευτήν.

Ἐκ τοῦ γ' βιβλίου τοῦ Δωροθέου[1] κεφάλαιον ο'.

Ἦν δ' ἄρ Ἐνυαλίῳ συνέῃ Κρόνος, ἤθεα τεῦξε
πρήεα· δὴ γὰρ Θοῦρος ἀεὶ σφοδρός τε καὶ ὠκὺς
εἰς ὁρμὰς ἄσκεπτον ἀεὶ τάχος ἠδ' ἀλόγιστον
θερμὸς ἐὼν ἤνεγκεν, ὁ δὲ βραδύς· ἀμφοτέρων δὲ
κιρναμένων μέσσος κείνων βροτὸς ἔσσετ' ἄριστος·

εἶτα προστίθησιν ὅτι κωλύσεις ἔργων καὶ χολῆς μελαίνης κίνησιν ποιεῖ

εἰ μὴ ἄρ Αἰγίοχος δαμάσει σθένος οὐλοὸν αὐτῶν.

Ὁ αὐτὸς βιβλίῳ δ' ἐν τῷ περὶ ἐπεμβάσεων[2].

Ζῆνος δ' αὖ γενετῆρα μετὰ Κρόνον ἔμπυρος Ἄρης
ἦν ἀφίκοιτ' ὤτρυνε νόον καὶ ἀπήλασε θυμοῦ
ὄκνον ἀεργείης καὶ ἑτοιμότατον θέτο φῶτα
ἔντασιν ἐνθέμενον, ἵνα πήματα τοῖσι γένεται.

[F. 156v.] Τοῦ Σαραπίωνος.

Χαίρουσιν οἱ ἀστέρες ἐν τόποις ἀγαθοποιῶν καὶ συναιρεσιωτῶν ὥσπερ καὶ ἰδιοτοποῦντες· τότε γὰρ καὶ οἱ φθοροποιοὶ ἀγαθύνονται.

[F. 163.] <Πάλχου> ἐκ τῆς τῶν περὶ τὰ λεγόμενα ἀποτελέσματα ἐπτοημένων τερατολογίας.

Οὐκ ἔδει μὲν ἐμὲ μετὰ τὰς καταρχὰς Δωροθέου καὶ Μαξίμου κα τῶν λοιπῶν ἀρχαίων τὸν περὶ καταρχῶν λόγον ὑποτάξαι. ἀλλ' ἐπειδὴ παρὰ τῶν αὐτῶν ἀρχαίων ὠφεληθεὶς ἠδυνήθην κἀγὼ δι' ἐμαυτοῦ τινα ἐκ πείρας καταλαβεῖν, ταῦτα αὐτὰ ἐσπούδασα <συν>τάξαι τοῖς εἰς τοῦτο τὸ μέρος ἐσπουδακόσιν· εἴ τι γὰρ ἐπιτυχὼν καὶ αὐτὸς πλέον τι εἰσφέρειν δόξω ἢ οὐδὲν βλάψω παρὰ τοὺς ἀρχαιότερον ἐπιδειξάμενος περὶ τούτων τὴν ἐμὴν προαίρεσιν.

3 κεφάλαιον ο'] conf. Kroll, *Philol. N. F.*, XI, p. 129, et *Catal.*, VI, p. 81. 8 κιρναμένων] cf. Manethon, ed. Koechly, 1858, E 58-61, p. 101. μέσος cod. κείνων] κενέων cod., corr. Boll. ἔσετ' cod. 11 Αἰγιόχοιο cod. 15 ἀεργείην cod., corr. Boll. 16 τισί cod. 25 ἐσπούδαζα cod. τάξαι cod., corr. Cumont.

---

[1] Ex carmine Dorothei, ex quo hi sex versus excerpti sunt, non ex Anubione fluxerunt vestigia dactylica Anonymi de planetis (*Catal.*, II, p. 160 sqq.). Conf. quae de his propediem pluribus in Herma, XLV (1910) disputabo.

[2] Cf. paraphrasin prosa oratione confectam, *Catal.*, II, p. 197, 1-2 : ὁ Ἄρης ἐπὶ Κρόνον ἐλθὼν ἀόκνους καὶ ἑτοίμους καὶ πρακτικοὺς ποιεῖ καὶ κατ' ἐχθρῶν διεγείρει.

they blunt the malice of those who cause it. Hence even if Zeus does not look on, they fare well, except that they witness the death of elder brothers.

From the 3rd book of Dorotheus, chapter 70. Now if Cronus were
joined with Enyalius, he would produce temperate
characters; for the Impetuous One, ever fierce and swift
ever brought heedless and unreasoning swiftness to impulses
being hot, while the other is slow; but when both
are blended, the mortal born between them will be

best; then he adds that it produces obstructions of activities and a stirring of black bile

unless the Aegis-bearer subdues their destructive strength.

The same author, in book 4, on transits: And fiery Ares, coming
after Cronus to the nativity of Zeus, roused the mind and drove
away the sluggishness of idle hesitation from the spirit,
and made the man most ready, having instilled
tension in him, so that troubles befall those around him.

[G. 156.] Of Sarapion.

The stars rejoice in the places of benefics and sect-members, just as they do when in their own domiciles; for then even the malefics become beneficial.

[F. 163.] <From Palchus,> from the marvel-mongering of those obsessed with the so-called astrological outcomes.

I ought not, after the inceptions of Dorotheus and Maximus and the other ancients, to have appended a treatise on inceptions. But since, having profited from those same ancients, I was also able to grasp certain things through my own experience, I took pains to compile these very things for those who are devoted to this branch of study; for if by chance I too should seem to contribute something more, or if I should appear to add nothing, I shall do no harm by having set forth my own intention in these matters alongside those who demonstrated them in more ancient times.

3 chapter 70 conf. Kroll, Philol. N. F., XI, p. 129, and Catal., VI, p. 81. 8 κιρναμένων] cf. Manetho, ed. Koechly, 1858, E58-61, p. 101. μέσος cod. κείνων] κενέων cod., corr. Boll. ἔσετ' cod. 11 Αιγιόχοιο cod. 15 ἀεργείην cod., corr. Boll. 16 τισί cod. 25 ἐσπούδαζα cod. τάξαι cod., corr. Cumont.

---

1 The dactylic traces of the Anonymous on the planets (Catal., II, p. 160 sqq.) flowed not from Anubian but from the poem of Dorotheus, from which these six verses were excerpted. Cf. what I shall discuss more fully on these matters shortly in Hermes, XLV (1910).

3 Cf. the paraphrase composed in prose, Catal., II, p. 197, 1-2: Mars coming to Saturn makes men tireless, ready, and active, and stirs them up against their enemies.

Περὶ καταρχῶν.

Ἐπὶ ἑκάστης καταρχῆς λάμβανε τὸν πολεύοντα καὶ διέποντα καὶ ζήτει, εἰ ἀφαιρεῖ ἢ προστίθει, εἶτα τὸν ὡροσκόπον, ἐν ποίῳ ζῳδίῳ ἐστί, στερεῷ ἢ δισώμῳ ἢ τροπικῷ, καὶ τὸ ζῴδιον, πότερον τῶν ὀρθῶν ἐστιν ἢ τῶν πλαγίων καὶ πότερον τῶν ὑγρῶν ἢ τῶν χερσαίων καὶ τῶν τετρα- 5 πόδων ἢ τῶν φωλευόντων. ζήτει δὲ καὶ τὸν κύριον τοῦ ὡροσκόπου, ποίαν ἔχει φάσιν, ἑῷος ἢ ἑσπέριος ἢ δύνων ἢ ἀρκτῷος, προσθέτης ἢ ἀφαιρέτης, ὑψοῦται ἢ ταπεινοῦται, ἐναντιοῦται ἢ ἐν ἰδίῳ οἴκῳ ἐστὶν, εἶτα ἐν ποίῳ ἕστηκεν τόπῳ, ἐπίκεντρος ἢ ἐπαναφερόμενος ἢ ἀποκλίνας, ταχυαναφόρος ἢ βραδυαναφόρος, ὑπὸ τίνων δὲ θεωρεῖται, ὑπὸ 10 ἀγαθοποιῶν ἢ κακοποιῶν. ἐπὶ τούτοις τὸν Ἥλιον καὶ τὴν Σελήνην ἐν ποίοις τόποις τετυχήκασι καὶ ὑπὸ τίνων θεωροῦνται καὶ τίνων ὅριά εἰσι καὶ εἰ ἐν λαμπρομοιρίαις, καὶ τοὺς τριγωνικοὺς δεσπότας τοῦ ὡροσκόπου καὶ τοῦ Ἡλίου καὶ τῆς Σελήνης καὶ τοὺς οἰκοδεσπότας τοῦ Ἡλίου καὶ τῆς Σελήνης, ἐν ποίοις τόποις εἰσὶ καὶ ποίας φάσεις ἔχου- 15 σιν, ἀφαιρετικὰς ἢ προσθετικάς, καὶ εἰ ἐπιβλέπωσι τὰ φῶτα, μάλιστα εἰ ὁ οἰκοδεσπότης τῆς Σελήνης μὴ ἐναντιοῦται τῇ Σελήνῃ καὶ εἰ ἐν καλῷ τόπῳ κεῖται καὶ εἰ ἐπιθεωρεῖ αὐτὴν καθ' οἷον δήποτε τρόπον, πλὴν καὶ εἰ ἐκδέχεται αὐτῆς τὴν παρουσίαν. ζήτει δὲ καὶ τὴν Σελήνην ἐν ποίῳ ζῳδίῳ ἕστηκεν ἐν τροπικῷ ἢ δισώμῳ ἢ ἐν ἄλλῳ ζῳδίῳ καὶ εἰ 20 αὔξει ἢ λήγει ἢ προστίθει ἢ ἀφαιρεῖ, εἰ ταχυδρομεῖ ἢ ὀλιγοδρομεῖ. ζήτει δὲ καὶ τὸν κλῆρον τῆς Τύχης ἐν ποίῳ τόπῳ ἕστηκεν καὶ εἰ θεωρεῖ ὁ Ἥλιος τὸν κλῆρον τῆς Τύχης (ποιεῖ γὰρ ἐπιτυχίας) καὶ τὸν κύριον τοῦ κλήρου τῆς Τύχης. σκέπτου δὲ καὶ τὰς ἀπορροίας καὶ τὰς συναφείας τῆς Σελήνης καὶ τὰ δωδεκατημόρια αὐτῆς καὶ τοῦ ὡροσκόπου. ζήτει δὲ 25 καὶ τοὺς παρανατέλλοντας τῷ ὡροσκόπῳ καὶ τῇ Σελήνῃ καὶ τοῖς λοιποῖς καὶ τὰ πρόσωπα τῶν δεκανῶν καὶ τῶν ὁρίων τὰ ἀποτελέσματα καὶ τὴν Σελήνην ζήτει, μὴ ἐν ταῖς ἐκλειπτικαῖς ἢ ταῖς ἀφωτίστοις μοίραις τυγχάνει μάλιστα ἐν τῷ Ἀναβιβάζοντι καὶ εἰ μὴ κενοδρομεῖ ἢ ἐπὶ σύνδεσμον φέρεται τοῦ Ἡλίου [f. 163v] ἢ διχοτομεῖται πρὸς Κρόνου 30 ἢ ἀπόστροφός ἐστι τοῦ ἰδίου οἰκοδεσπότου ἢ ἐμπεριέχεται ὑπὸ Ἄρεως καὶ Κρόνου. ἐὰν γὰρ καὶ δίσωμος τύχῃ ἡ Σελήνη πρὸ τοῦ ὡροσκόπου ἐν τῷ ἄνω ἡμισφαιρίῳ, δηλοῖ ὅτι τὸ πρᾶγμα καὶ πρὸ τούτου ἐκινήθη ὡς εἶναι δευτέραν ἐρώτησιν. εἰ δὲ μετὰ τὸν ὡροσκόπον τύχῃ ἡ Σελήνη ἐν τῷ κάτω ἡμισφαιρίῳ, δηλοῖ ὅτι τὸ πρᾶγμα πρῶτον ἤρξατο καὶ πάλιν 35 ἄρχεται. ζήτει δὲ καὶ τὸ πρόσωπον τοῦ δεκανοῦ ἐν ᾧ ἐστιν ὁ ὡροσκόπος· φυλάττου δὲ καὶ τὰς γ' ἐννεάδας τῆς Σελήνης καὶ τὰς δ' ἑβδομά-

7 προσθέτης ex προστέθης corr. librar. 8 ἀφαιρέτης ex ἀφαιρεῖ corr. librar. 12 ὅριά] ὁρίοις? Cumont. 17 οἰκοδεσπ. ex δικοδεσπ. corr. 28 δὲ post Σελήνην delevi. 32 δίσωμος] δισώμω cod. 36-p. 127, 9 primus ed. F. Cumont, *Revue des ét. anciennes*, IV, 1902, p. 290 s. et *Catal.*, V, 1, p. 179 ex codd. Angel. 29 et Ambros. B. 38 sup.

On Inceptions.

For each inception, take the gatekeeper and administrator and examine whether it subtracts or adds; then the Ascendant, in what kind of sign it is — fixed, bicorporeal, or tropical — and the sign, whether it is one of the upright or the oblique, and whether it is one of the wet or the dry, or of the four-footed or the burrowing. Examine also what phase the ruler of the Ascendant has — rising in the east or in the west, or setting or northern, additive or subtractive, exalted or in depression, in opposition or in its own house; then in what place it stands — angular, succedent, or cadent; swift in rising or slow in rising; by which planets it is aspected, by benefics or malefics. In addition to these, in what places the Sun and Moon happen to be, by which planets they are aspected, and in whose terms they are, and whether they are in bright degrees; and the triplicity rulers of the Ascendant and of the Sun and Moon, and the domicile rulers of the Sun and Moon — in what places they are and what phases they have, subtractive or additive, and whether they aspect the lights; especially whether the domicile ruler of the Moon is not in opposition to the Moon, and whether it lies in a favorable place, and whether it aspects her in whatever manner, and also whether it receives her approach. Also examine the Moon — in what sign it stands, whether in a tropical or bicorporeal or another sign, and whether it is increasing or decreasing, additive or subtractive, whether it moves swiftly or slowly; also examine the Lot of Fortune — in what place it stands, and whether the Sun aspects the Lot of Fortune (for it produces good fortune), and the ruler of the Lot of Fortune. Examine also the separations and applications of the Moon, and her dodecatemoria and those of the Ascendant. Examine also the stars rising alongside the Ascendant and the Moon and the rest, and the faces of the decans and the outcomes of the terms; and examine the Moon, lest she happen to be in the ecliptic or lightless degrees, especially in the Ascending Node, and whether she is not void of course, or being carried toward conjunction with the Sun, or is being dichotomized by Saturn, or is turned away from her own domicile ruler, or is enclosed by Mars and Saturn. For if the Moon happens to be in a bicorporeal sign before the Ascendant in the upper hemisphere, it indicates that the matter was already set in motion before this, so that it is a second inquiry. But if the Moon happens to be after the Ascendant in the lower hemisphere, it indicates that the matter has begun for the first time and is beginning again.Also examine the face of the decan in which the Ascendant is; and guard against the three enneads of the Moon and the four hebdomas

7 additive ex additive corr. librar. 8 remover ex remover corr. librar,n12 Aries] driois Cumont. 17 house manager ex House manager corr. 28th post Selininndelevi. 32 bisomos] bisomos cod. 36-p. 127, 9 primus ed. F. Cumont, Revue desnél. anciennes, IV, 1902, p. 290 s. et Catal., V, 1, p. 179 ex codd. Angel. 29 etnAmbros. B. 38 sup.

δας καὶ παντὸς μηνὸς κατὰ Ῥωμαίους τὴν η' ἡμέραν καὶ τὴν ιη' καὶ τὴν κη'· πρὸς δὲ πολλὴν ἀσφαλείαν καὶ τὰς ληδούνας καὶ τὰς μαλίνας τῆς Σελήνης καθὼς οἱ Γαλλοὶ φυλάττουσιν· ἀπὸ οὖν κς' τῆς Σελήνης ἕως τρεῖς ἥμισυ γίνονται ἡμέραι ζ' ἥμισυ. αὗται καλοῦνται μαλῖναι· ἐν
5 ταύταις ταῖς ἡμέραις οὐδὲν δεῖ πράττειν· ἀπὸ δὲ γ' ἥμισυ τῆς Σελήνης ἕως ια' καλοῦνται ληδοῦναι· ἐν ταύταις πάντα δεῖ πράττειν. ἀπὸ δὲ ιβ' ἕως ιη' ἥμισυ πάλιν μαλῖναι· ἀπὸ δὲ ιθ' ἕως κς' ληδοῦναι· αἱ δὲ λοιπαὶ μαλῖναι ἕως τρεῖς ἥμισυ τῆς Σελήνης· δεῖ δὲ ἐν ταῖς ληδούναις πάντα ποιεῖν Σελήνης οὔσης ὑπὸ γῆν καὶ μὴ ὑπὲρ γῆν.

10 [F. 171 in margine.]

Λέγει ο Θέων ὅτι ὅσας τις ταξειδεύσει διὰ θαλάσσης τῆς Σελήνης οὔσης ἐν τῇ ζ' τῶν Ἰχθύων μοίρᾳ ἐν τῷ ὑψώματι δηλονότι τῆς Ἀφροδίτης, ἔσται ἀφιερωμένος ὅτι εὐοδωθῆναι μέλλει. εἰ δὲ καὶ ἐν τῇ τρίτῃ μοίρᾳ τοῦ Καρκίνου, τῷ ταπεινώματι τῆς Σελήνης, φονευθήσεται
15 ἢ ἀπολέσει τὸν βίον αὐτοῦ. εἰ δὲ καὶ κινήσεις πρὸς πόλεμον τῆς Σελήνης οὔσης μετὰ τοῦ Ἄρεως, ἢ φονευθήσεται ἢ χεὶρ αὐτοῦ κοπήσεται.

Περὶ δὲ ἀποδημίας ὁ Ἀπομάσαρ λέγει ὡς εἰ βούλει ἀποδημῆσαι διὰ πλοῦ, ποίησον τὸν ὡροσκόπον καὶ τὴν Σελήνην ἐν ὑδατώδεσι ζῳδίοις· εἰ δὲ διὰ ξηρᾶς, ἐν ζῳδίοις γεώδεσιν.

20 Περὶ ἀποδημίας λέγει ὁ σοφὸς [ὁ] Ῥάπτης ὅτι πλέον κακόν ἐστι τὸ κακοπαθῆσαι τὴν Σελήνην ἐν τῷ τῆς ἀποδημίας καιρῷ ἢ τὸ κακοῦσθαι τὸν ὡροσκόπον, ἐπεὶ ἡ Σελήνη δύο λόγους ἔχει ἐν τῇ ἀποδημίᾳ, ἕνα μὲν ὅτι ἐστὶ σημειωτικὴ τῆς ἀποδημίας φύσει καὶ ἄλλο ὅτι ἐστὶ σημειωτικὴ καταρχῆς· ὁ δὲ ὡροσκοπήσας ἐστὶ σημειωτικὸς ὑπο-
25 θέσεως τῆς μελλούσης δηλο<νότι> καταρχθῆναι.

[F. 177.] ιη'. Περὶ ἱπποδρομίου.

Ὁ Κρόνος καὶ ὁ Ἑρμῆς καὶ ἡ Ἀφροδίτη ἀνήκουσιν τῷ κυανῷ μέρει ἤγουν τῷ βενέτῳ· ὁ Ἥλιος, ὁ Ἄρης καὶ ἡ Σελήνη τῷ χλοάζοντι, τῷ πρασίνῳ, ὁ δὲ Ζεὺς ἐπίκοινος ἀμφοτέροις. τούτων τῶν ἀστέρων ὁ
30 ἐπίκεντρος, ὁ ἐπαναφερόμενος, ὁ ὁρώμενος ὑπὸ ἀγαθοποιῶν ἐν ἰδίῳ

2 ληδούνους = ledonas; μαλίνας = malinas. Cf. Mondry Beaudouin, *Rev. crit.* 60, 1905, p. 253-255. [Malina est aestus maritimus maximus, ledona aestus minimus (*marée de syzygie et marée de quadrature*). Quos cum in Oceano tantum, non in Mari Interno observari potuerint, verba haec, quibus Galli teste Palchio utuntur, sine dubio revera celtica sunt, non latina]. 10 Brevia haec tria capitula cum humiditate ita laesa tum a bibliopega nimium resecante adeo deleta sunt, ut desperem omnia verba extricari posse. 11 ταξειδεύσει (iter facere. V. Indicem) incertum. 13 ὅτι .... μέλλουσι non intelligo. εὐοδοθῆναι vel δύο δοθῆναι incertum. 18 πλοῦ] πλο cod. 20 ὁ uncinis seclusi. 21 κακοπαθῆσαι an κακοπαθεῖν, incertum. 25 δηλ|ο ... cod., suppl.. Boll. 27 Ἑρμῆς cod.

days, and according to the Romans, the 8th day of every month, and the 18th, and the 28th; and for greater security, also the lēdounai and the malinai of the Moon, as the Gauls observe: from the 26th of the Moon until three and a half days, there are 7½ days. These are called malinai; during these days one must do nothing. From the 3½ of the Moon until the 11th, these are called lēdounai; during these one must do everything. From the 12th until the 18½, again malinai; from the 19th until the 26th, lēdounai; and the remaining malinai last until the 3½ of the Moon. One must perform all things during the lēdounai when the Moon is below the earth and not above the earth.

10 [F. 171 in margin.]

Theon says that whoever sets sail by sea while the Moon is in the 7th degree of Pisces — that is, in the exaltation of Aphrodite — will be consecrated, since he is destined to have a prosperous voyage. But if the Moon is in the 3rd degree of Cancer, the depression of the Moon, he will be killed or will lose his life. And if one sets out for war while the Moon is in conjunction with Ares, either he will be killed or his hand will be cut off.

Regarding travel abroad, Apomasar says that if you wish to travel by sea, place the Ascendant and the Moon in watery signs; but if by land, in earthy signs.

20 Regarding travel abroad, the wise [d] Raptes says that it is a greater evil for the Moon to be afflicted at the time of the journey than for the Ascendant to be harmed, since the Moon has two roles in travel: one, that she is by nature the significator of the journey, and another, that she is the significator of the inception; while the Ascendant is the significator of the matter that is about to be, evidently, commenced.

[F. 177.] 18. On the Hippodrome.

Saturn, Mercury, and Venus belong to the blue faction, that is, the Venetoi; the Sun, Mars, and the Moon to the green, the Prasinoi; and Zeus is common to both. Of these stars, the one that is angular, the one that is succedent, the one that is acted upon by benefics in its own

2 ληδούνους = ledonas; μαλίνας malinas. Cf. Mondry Beaudouin, Rev. crit. 60, 1905, p. 253-255. [Malina is the greatest maritime tide, ledona the smallest tide (spring tide and neap tide). Since these could only be observed in the Ocean, not in the Inner Sea, these words, which the Gauls use according to the testimony of Palctius, are without doubt truly Celtic, not Latin]. 10 These three brief chapters, damaged as they are by moisture and excessively trimmed by the bookbinder, are so obliterated that I despair of being able to extract all the words. 11 ταξειδεύσει (to make a journey; see Index) is uncertain. 13 ὅτι . . . μέλλουσι I do not understand. εὐοδοθῆναι or δύο δοθῆναι uncertain

goal. 18 plou] plo cod. 20 & uncinis seclusi. 21 κακοπαθῆσαι an κακοπαθεῖν, nincertum. 25 i.e. the . . . coll., suppl.. Boll. 27 Mercury cod.

οἴκῳ ἢ ὑψώματι ἢ ὁρίῳ, ἢ διάμετρος ἢ τρίγωνος ὧν τοῦ Διὸς τῇ ὥρᾳ τοῦ ἀγῶνος νίκην παρέχει, ᾧ ἀναλογεῖ μέρει ὁ ὡροσκόπος. καὶ ὁ ἀστήρ, οὗ ἡ Σελήνη ἀπορρεῖ, δηλοῖ τὸν ἐρωτῶντα περὶ ἀγῶνος. τὸ δὲ δῦνον καὶ ὁ ἀστήρ, ᾧ ἂν ἡ Σελήνη συνάπτει, τὸν ἀντίδικον. ἡ προγεγονυῖα σύνοδος ἀνήκει τοῖς βενέτοις, ἡ δὲ πανσέληνος τοῖς πρασίνοις. 5

ιθ'. Περὶ τοῦ πότε δεῖ λαμβάνειν γυναῖκα.

Δεῖ σε πρωτοτύπως φροντίσαι τὸ ὡροσκοποῦν ζῴδιον εἶναι στερεὸν ἢ δίσωμον· ὁ δὲ κύριος αὐτοῦ ἀγαθοποιούμενος ἔξωθεν πάσης κακώσεως· ἵνα δὲ τετραγωνίζῃ καὶ ἡ Ἀφροδίτη τὸν Δία καὶ ἵνα ὁρῶσι τὸν ὡροσκόπον· ἵνα δὲ αὐξιφωτῇ καὶ ἡ Σελήνη οὔσης αὐτῆς ἀγαθοπε- 10 ποιημένης ἐν τόπῳ καλῷ. εἰ δ' ἴσως ταῦτα πάντα οὐχ εὑρήσεις ὡς εἴρηται, ἰδὲ τὴν Σελήνην καὶ ποίησον, ἵνα ἀγαθοποιῆται καί ἐστιν ἐν τόπῳ καλῷ.

[F. 177 in margine.] Λέγει σοφώτατος Θέων. 15

Ἐάν τις κατ' ἀρχὴν βουληθῇ συνουσιάσαι τῇ γυναικὶ αὐτοῦ τῆς Σελήνης οὔσης ἐν ιε' μοίρᾳ τοῦ Αἰγοκέρωτος ἐν τῷ ταπεινώματι δηλονότι τοῦ Διός, οὐ μὴ δυνηθῇ συγγενέσθαι αὐτῇ.

[F. 189.] Αἱ φωτιστικαὶ τῆς Σελήνης ἡμέραι· α' β' γ' ζ' θ' ι' ια' ιγ' ιδ' ις' ιζ' ιθ' κ' κβ' κγ' κς' κη'. αἱ ἀφώτιστοι τῆς Σελήνης ἡμέραι· δ' ε' 20 ς' η' ιβ' ιε' ιη' κα' κδ' κε' κζ' κθ' λ'.]

[F. 206.] Περὶ τῶν ζῳδίων τῶν ἀνακειμένων ἑνὶ ἑκάστῳ τῶν μορίων [1].

Ὁ Κριὸς κυριεύει τῆς κεφαλῆς καὶ τοῦ προσώπου καὶ τῆς κόρης τοῦ ὀφθαλμοῦ καὶ τῶν ἐν τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶ παθῶν καὶ τῶν 25 ἑντέρων.

Τῷ δὲ Ταύρῳ ἀνάκειται ὁ τράχηλος καὶ οἱ ἐν αὐτῷ σπόνδυλοι καὶ τὰ ἐν αὐτῷ πάθη καὶ αἱ χοιράδες καὶ τὰ ἀποστήματα καὶ αἱ ἐν ταῖς ῥισὶ δυσωδίαι καὶ ἡ κυρτότης.

4 ᾧν ἂν] ὧν cod., corr. Cumont. 19 Cf. capitulum simillimum, quod edidit F. Boll, *Catal.*, VII, p. 101, 3. 20 ἀφώτισται cod. Editur ex Vaticano et Angel. 29 (C. 4. 8), f. 78. cap. κε' (contulit Iohannes Mewaldt). 22 τῶν post περὶ om. A 23 τῶν om. A. 25 ἐν τῷ ὀφθαλμῷ A. 27-29 Ὁ Ταῦρος κυριεύει τοῦ τραχήλου καὶ τοῦ ἐν αὐτῷ σπονδήλου καὶ τὰς χοιράδας καὶ τὰ ἀποστήματα καὶ τὰς ἐν ταῖς ῥισὶ δυσωδίας καὶ τὴν κυρτότητα V.

[1] Cf. Bouché-Leclercq, *Astrol. grecque*, p. 319 s.

in domicile or exaltation or term, or being in opposition or trine to Jupiter at the hour of the contest, grants victory to the party to which the Ascendant corresponds. And the star from which the Moon is separating indicates the one who is inquiring about the contest, while the setting sign and the star to which the Moon is applying indicate the opponent. The preceding conjunction belongs to the Blues, and the full moon belongs to the Greens.

19. On when one should take a wife.

You must first and foremost take care that the ascending sign is fixed or bicorporeal; and that its ruler is benefited, free from all affliction; and that Venus also squares Jupiter and that they behold the Ascendant; and that the Moon also is waxing and is itself benefited in a favorable place. But if perhaps you will not find all these conditions as stated, look to the Moon and arrange that it be benefited and is in a favorable place.

[F. 177 in the margin.] The most wise Theon says.

If someone wishes at the outset to have intercourse with his wife when the Moon is at the 15th degree of Capricorn, which is of course the depression of Jupiter, he will not be able to lie with her.

(G. 189.) The illuminated days of the Moon: 1st, 2nd, 3rd, 4th, 5th, 6th, 11th, 13th, 14th, 16th, 17th, 19th, 20th, 22nd, 23rd, 26th, 28th. The unilluminated days of the Moon: 4th, 5th, 6th, 7th, 8th, 9th, 10th, 18th, 21st, 24th, 25th, 27th, 29th, 30th.

[F. 206. On the Zodiac Signs Assigned to Each of the Members 1.

Aries rules the head and the face and the pupil of the eye and the affections of the eyes and ears and the intestines.

To Taurus are assigned the neck and the vertebrae in it and the affections in it and the scrofulous swellings and the abscesses and the foul smells in the nostrils and the curvature.

4 ὧν ἂν] ὧν cod., corr. Cumont. 19 Cf. capitulum simillimum, quod ediditnF. Boll, Catal., VII, p. 101, 3. 20 afotistai cod. Editur ex Vaticano et Angel. 29n(C. 4. 8), f. 78. cap. Mr. (contulit Iohannes Mewaldi). 22 of the posts about om. An23 of the om. A. 25 in the eye A. 27-29 Taurus dominates the neck and the vertebra in it and the pigs and the abscesses and the stench and the curvature V.

* Cf. Bouché-Leclercq, Astrol. grecque, p. 319 s.

Τοῖς δὲ Διδύμοις ἀνάκεινται αἱ χεῖρες καὶ οἱ βραχιόνες καὶ οἱ ὦμοι.

Τῷ δὲ Καρκίνῳ τὸ στῆθος καὶ οἱ μαστοὶ καὶ ἡ καρδία καὶ ὁ στόμαχος καὶ τὰ πλευρὰ καὶ οἱ νεῦροι.

5 < . . . . . >.

Τῇ δὲ Παρθένῳ ἀνάκειται ἡ κοιλία καὶ τὰ ἔντερα καὶ ὁ ὑπεζωκὼς ὑμὴν καὶ τὸ διάφραγμα.

Τῷ δὲ Ζυγῷ ἀνάκειται τὰ κάτωθεν μέρη τῆς κοιλίας καὶ τοῦ ὀμφαλοῦ καὶ τὰ ἰσχία.

10 Τῷ δὲ Σκορπίῳ ἀνάκεινται τὰ σπερματικὰ μόρια καὶ οἱ ὄρχεις καὶ ἡ κύστις καὶ τὰ γυναικεῖα αἰδοῖα καὶ τὰ ἀνδρεῖα.

Τῷ δὲ Τοξότῃ οἱ μηροὶ καὶ τὰ σκέλη.

Τῷ δὲ Αἰγοκέρωτι τὰ γόνατα καὶ τὰ ἐν τούτοις νεῦρα.

Τῷ δὲ Ὑδροχόῳ τὰ κάτωθεν μέρη τῶν ποδῶν καὶ τὰ νεῦρα
15 αὐτῶν.

Τοῖς δὲ Ἰχθύσιν οἱ πόδες καὶ τὰ νεῦρα αὐτῶν καὶ τὰ πάθη αὐτῶν, οἷον τὰ ποδαγρικά.

[F. 206v.] Περὶ νεφελοειδῶν [1].

Εἰσὶν αἱ νεφελοειδεῖς συστροφαὶ ἐν μὲν τῷ Ταύρῳ ἀπὸ τῆς ιγ' μοί-
20 ρας μέχρι τῆς ιε', ἐν δὲ τῷ Καρκίνῳ ἡ κα' αὐτοῦ, ἐν δὲ τῷ Σκορπίῳ ἥ τε κ' μοῖρα αὐτοῦ καὶ ἡ κα', ἐν δὲ τῷ Τοξότῃ ἡ κ' μοῖρα αὐτοῦ, ἐν δὲ τῷ Αἰγοκέρωτι ἡ κβ' μοῖρα, ἐν δὲ τῷ Ὑδροχόῳ ἡ κ' μοῖρα ἄχρι τῶν κδ'.

[F. 210v.] Περὶ τοῦ γνῶναι τοὺς ἀστέρας τοὺς ἀπλανεῖς ποῖοι ἐξ αὐτῶν εἰσι φθοροποιοὶ καὶ ποιοῦντες κλιμα-
25 κτῆρας [2].

Εἰσὶν οὗτοι· ἡ καρδία τοῦ Λέοντος, ἡ καρδία τοῦ Σκορπίου, ὃς ὀνομάζεται Ἀντάρης, ἡ καρδία τοῦ Ταύρου, ὃς ὀνομάζεται λαμπρὸς τῶν

1-2 Οἱ Δ. κυριεύουσι χειρῶν, βραχιόνων καὶ ὤμων V. 3-4 Ὁ Καρκίνος στήθους καὶ μαστῶν καὶ καρδίας καὶ στομάχου καὶ πλευρῶν καὶ νέφρων V. 5 Quae Leoni adiaceant partes om. codices. 6-7 Ἡ Π. κοιλίας καὶ ἐντέρων V. 8-9 Ὁ Ζυγὸς τῶν κάτωθεν μερῶν τῆς κοιλίας καὶ τοῦ ὀφαλοῦ (!) καὶ τῶν ἰσχίων V. 10-11 Ὁ Σκ. τῶν σπ. μορίων, τῆς κύστεως καὶ τῶν αἰδοίων V. 12 Ὁ Τ. μηρῶν καὶ σκελῶν V. 13 Ὁ Αἰ. γονάτων καὶ τῶν ἐν αὐτοῖς νεύρων V. 14-15 Ὁ Ὑ. τῶν κ. μερῶν τ. π. καὶ τῶν νεύρων αὐτῶν V. 16-17 Οἱ Ἰ. τῶν ποδῶν καὶ τῶν νεύρων αὐτῶν καὶ τῶν παθῶν αὐτῶν οἷον τῶν ποδαγρικῶν V. 27 Ἀντάρης. Cf. supra. De nominibus stellarum cf. Boll, *Sphaera*.

---

[1] Cf. *Catal.* V, part. 1, p. 208, 17 ss.

[2] Cf. Antiochum, *Catal.* VII, p. 111; Apomasarem, *Catal.*, V, part. 1, p. 169.

To Gemini are assigned the hands and the arms and the shoulders.

To Cancer the chest and the breasts and the heart and the stomach and the sides and the sinews.

5 ^ . . . . . >.

To Virgo are assigned the belly and the intestines and the pleural membrane and the diaphragm.

To Libra are assigned the lower parts of the belly and of the navel and the hips.

10 To Scorpio are assigned the generative organs and the testicles and the bladder and the female genitalia and the male genitalia.

To Sagittarius belong the thighs and the legs.

To Capricorn belong the knees and the sinews in them.

To Aquarius belong the lower parts of the feet and their sinews.

To Pisces belong the feet and their sinews and their afflictions, such as gouty conditions.

[F. 2064.] On nebulous clusters[1]

The nebulous clusters are: in Taurus from the 13th degree to the 15th, in Cancer its 21st degree, in Scorpio its 20th and 21st degrees, in Sagittarius its 20th degree, in Capricorn the 22nd degree, in Aquarius the 20th degree up to the 24th.

[F. 210.] On recognizing which of the fixed stars are destructive and produce critical periods.

25

These are: the heart of Leo, the heart of Scorpio, which is called Antares, the heart of Taurus, which is called the bright one of the

1-2 The Gemini rule over hands, arms and shoulders V. 3-4 Cancer over the chest, breasts, heart, stomach, sides and kidneys V. 5 The parts associated with Leo, all codices. 6-7 Virgo over the belly and intestines V. 8-9 Libra over the lower parts of the belly and the navel (!) and the hips V. 10-11 Scorpio over the generative parts, the bladder and the genitals V. and legs V. 12 The T. of thighs 13 Capricorn over the knees and the sinews in them V. and 14-15 The Y. of the parts of the feet and their sinews V. 16-17 Pisces over the feet and their sinews and their afflictions such as gouty conditions V. 27 Antares. Cf. above. On the names of the stars cf. Boll, Sphaera.

---

[1] Cf. *Catal.* V, part. 1, p. 208, 17 ss.

3 Cf. Antioch, Catal. VII, p. 111; Apomnasarem, Catal., N', part. 1, p. 169.

Ὑάδων, ἡ καρδία τοῦ Τοξότου, ὃς ὀνομάζεται ὦμος αὐτοῦ καὶ τὰ νεφελώδη συστήματα, καὶ ἡ χαίτη τοῦ Λέοντος καὶ ὁ ἐπὶ οὐρᾶς τοῦ Ὄρνιθος ἀστὴρ καὶ ὁ ἐπὶ τοῦ δεξιοῦ αὐτοῦ γόνατος, ὅς ἐστιν ἐν τῷ Ὑδροχόῳ, μοίρας ιβ' λεπτῷ ι', καὶ ὁ ἀστὴρ ὁ ἐπὶ τοῦ στήθους τοῦ Καρκίνου καὶ ἡ Φάτνη, ἥτίς ἐστιν ἐν τῷ Καρκίνῳ μοίρας ι' λεπτῷ κ', καὶ ὁ ἑπόμενος ἀστὴρ τῷ Σκορπίῳ, ὃς σχεδὸν ἀφανής ἐστιν, ὑπάρχει δὲ ἐν τῷ Τοξότῃ μοίρᾳ α' λεπτῷ ι'.

Οὗτοι οἱ ἀστέρες εἰσὶ κάκιστοι καὶ βλαπτικοὶ καί, ὅτε κωλύσει ὁ περίπατος τοῦ ἀφέτου αὐτοῖς τοῖς ἄστροις ἢ ἡ Σελήνη, ποιοῦσι κλιμακτῆρας μεγάλους.

[F. 211.] Περὶ μεγέθων τῶν ἀστέρων.

Τὸ μέγεθος τοῦ Ἡλίου ἔχει μοίρας ιε' ἔμπροσθέν τε καὶ ὄπισθεν, τὸ δὲ τῆς Σελήνης ὁμοίως, ιβ' ὁ Κρόνος καὶ ὁ Ζεὺς ἀνὰ μοίρας θ', ὁ Ἄρης μοίρας η', ἡ Ἀφροδίτη καὶ ὁ Ἑρμῆς ἀνὰ μοίρας ζ', ὁ δὲ Καταβιβάζων καὶ ὁ Ἀναβιβάζων ἀνὰ μοίρας γ'. βλάπτουσι δὲ οὗτοι τὴν Σελήνην ἀπὸ διαστάσεως μοιρῶν ιβ' ἔμπροσθέν τε καὶ ὄπισθεν.

Περὶ τῆς τῶν δύο φωστήρων ἐν τῇ ἐκλείψει κακώσεως.

Γίνωσκε ταῦτα, ὅτι ὁ Ἥλιος πρὸ ἑπτὰ ἡμερῶν τῆς ἐκλείψεως αὐτοῦ κεκακωμένος ἐστίν, ὡσαύτως καὶ μετὰ ἑπτὰ ἡμέρας τῆς ἐκλείψεως. ἡ δὲ Σελήνη πρὸ τριῶν ἡμερῶν τῆς ἐκλείψεως αὐτῆς καὶ μετὰ τρεῖς ἡμέρας κεκακωμένη ἐστίν.

Περὶ τῆς κακώσεως τῆς Σελήνης.

Ἡ Σελήνη κακοῦται, ὅτε ἐστὶν ἐν τῷ ἰδίῳ δωδεκατημορίῳ καὶ ὅτε ἐστὶν ὕπαυγος. μεγάλως κακοῦται, καὶ ὅτε τύχῃ ἐν τῷ δωδεκατημορίῳ τοῦ Κρόνου ἢ τοῦ Ἄρεως καὶ ὅτε συνοδεύει κακοποιῷ ἢ ἐφορᾷ αὐτὸν διὰ τετραγώνου καὶ διαμέτρου σχήματος καὶ ὅτε ἀπὸ βορρᾶ κάτεισιν ἐπὶ νότον καὶ ὅτε συνοδεύει τῷ Καταβιβάζοντι καὶ Ἀναβιβάζοντι καὶ ὅτε ὀλιγοδρομεῖ καὶ ὅτε ἐστὶν ἐν ὁρίοις κακοποιοῦ καὶ ὅτε τύχῃ ἐν τῷ ἑνάτῳ τόπῳ. ὅτε δὲ ἐκλείπει, μεγάλως βλάπτεται.

15 τὴν corr. ex αὐτήν. 17 Cf. quae Plut. Nic. c. 23 ex Philochoro ut videtur de Autoclidis exegetae praeceptis tradit: τῶν περὶ ἥλιον καὶ σελήνην ἐπὶ τρεῖς ἡμέρας (μετὰ τὴν ἔκλειψιν) ἐποιοῦντο φυλακὴν ὡς Αὐτοκλείδης διέγραψεν ἐν τοῖς ἐξηγητικοῖς [F. Boll]. 20 ἑπτά ante τριῶν delevit librarius. 26 βορρᾶν cod. κάτισιν cod.

of the Hyades, the heart of Sagittarius, which is called his shoulder, and the nebulous clusters, and the mane of Leo, and the star upon the tail of the Bird, and the one upon its right knee, which is in Aquarius at 12 degrees 10 minutes, and the star upon the chest of Cancer and the Manger, which is in Cancer at 16 degrees 20 minutes, and the star following Scorpius, which is nearly invisible, being located in Sagittarius at 1 degree 10 minutes.

These stars are most malefic and harmful, and whenever the course of the apheta is impeded by these same stars, or by the Moon, they produce great climacteric periods. 10

[F. 211.] On the magnitudes of the stars.

The magnitude of the Sun extends 15 degrees both before and behind, and that of the Moon likewise; Saturn and Jupiter 9 degrees each, Mars 8 degrees, Venus and Mercury 7 degrees each, and the Descending Node and the Ascending Node 3 degrees each. These afflict the Moon from a distance of 12 degrees both before and behind.

On the affliction of the two luminaries at eclipse.

Know these things: that the Sun is afflicted for seven days before its eclipse, and likewise for seven days after the eclipse. The Moon is afflicted for three days before its eclipse and for three days after.

On the Affliction of the Moon.

The Moon is afflicted when it is in its own dodecatemory and when it is under the rays, it is greatly afflicted, and when it happens to be in the dodecatemory of Saturn or Mars, and when it conjoins a malefic or aspects it by square and opposition, and when it descends from north to south, and when it conjoins the Descending Node and the Ascending Node, and when it is slow in motion, and when it is in the terms of a malefic, and when it happens to be in the ninth place. But when it is eclipsed, it is greatly harmed.

15 corr. ex her. 17 Cf. quae Plut. Nic. c. 23 ex Philochoro ut videtur denAutoclidis exegelae praeceplis tradit: about the sun and the moon on three days (after the eclipse they were in prison as Autoclides deleted in the exegetes [G. Boll]. 20 seven ante three delevit librarius. 26 north cod.nkatisin cod.

[F. 225v.] Περὶ κλιμάτων τῶν ἀνακειμένων ἑνὶ ἑκάστῳ ζῳδίῳ[1].

Τῷ Κριῷ ἀνάκειται ἡ Βαβυλὼν καὶ ἡ Περσὶς καὶ ἡ Μηδία καὶ ἡ Παλαιστίνη καὶ αἱ πεδιάδες καὶ ἡ νομὴ τῶν ζῴων καὶ τὰ μεταλλικὰ καὶ αἱ σκηνώσεις τῶν λῃστῶν.

Τῷ δὲ Ταύρῳ ἀνάκειται τὸ Χαμαδὰν καὶ οἱ Τοῦρκοι οἱ κατοικοῦντες ἐν τοῖς ὄρεσι καὶ αἱ ἄνυδροι πεδιάδες καὶ αἱ παρακείμεναι χῶραι τοῖς ὄρεσι καὶ αἱ παρακείμεναι τοῖς ἐλάφοις.

Τοῖς δὲ Διδύμοις ἀνάκειται τὸ Χοροσὰν καὶ ἡ μεγάλη Ἀρμενία καὶ τὸ Χιλουὰν καὶ τὸ Πουρζὰν καὶ τὸ Μουκὰν καὶ ἡ Αἴγυπτος καὶ τὸ Βάρκα καὶ τὸ Σπαχὰν καὶ τὸ Οὐμὰν καὶ τὰ ὄρη καὶ οἱ βουνοὶ καὶ τὰ ἁλιευτήρια καὶ οἱ τόποι, ἐν οἷς παίζουσι τὸ ταυλίον καὶ οἱ θεμέλιοι τόποι.

Τῷ δὲ Καρκίνῳ ἀνάκειται ἡ μικρὰ Ἀρμενία καὶ τὰ ἐπέκεινα τοῦ Μουκᾶ καὶ τὰ μέρη τῆς Ἀφρικῆς καὶ τὰ ἀνατολικώτερα μέρη τοῦ Χωροσὰν καὶ ἡ χώρα των Σινῶν καὶ τὸ Μαλδοὺτ καὶ τὸ Πὰλχ καὶ ἡ Μηδία καὶ αἱ λίμναι καὶ τὰ βάλτα καὶ οἱ αἰγιαλοὶ τῆς θαλάσσης καὶ τῶν ποταμῶν.

Τῷ δὲ Λέοντι ἀνάκειται ἡ Τουρκία καὶ ἡ ἐπέκεινα αὐτῆς οἰκουμένη καὶ τὸ Τοὺς καὶ τὰ ῥυάκια καὶ τὰ μολυβδικὰ μέταλλα καὶ τὰ παλάτια καὶ τὰ φρούρια καὶ αἱ περιτετειχισμέναι πόλεις.

Τῷ δὲ Παρθένῳ ἀνάκειται ἡ μικρὰ Ἀσία καὶ ὁ Εὐφράτης ποταμὸς καὶ ἡ χώρα ἡ λεγομένη Νῆσος καὶ τὸ Κερδὰν καὶ τὰ χωράφια καὶ αἱ γυναικονίτιδες οἰκίαι καὶ αἱ μεταβολαί.

Τῷ δὲ Ζυγῷ ἀνάκειται ἡ Ῥωμανία καὶ τὰ σύνορα αὐτῆς ἄχρι τῆς Ἀφρικῆς καὶ τὰ ἀνωτέρω μέρη τῆς Αἰγύπτου ἄχρι τῶν Αἰθιόπων καὶ τὸ Βάρκα καὶ το Κερμὰν καὶ τὸ Σιζιστὰν καὶ τὸ Κάπουλ καὶ τὸ Ταχαρωστὰν καὶ τὸ Πὰλχ καὶ Βωχαρὰ καὶ τὰ ὄρη, ἐν οἷς σπείρονται κόκκοι καὶ αἱ χῶραι αἱ ἔχουσαι φοίνικας καὶ αἱ χωραι, ἐν αἷς ἐστι κυνηγεσία.

Τῷ δὲ Σκορπίῳ ἀνάκειται ἡ εὐδαίμων Ἀραβία καὶ μέχρι τῆς Ἰνδίας καὶ τὸ Τάντζε καὶ ἡ Κώμη καὶ το Ῥὲ καὶ ἡ Σουγδαία καὶ αἱ ἄμπελοι καὶ

Edimus ex cod. Vaticano et Angel. 29 (C. 4. 8), fol. 77v, cap. κβ' (contulit Iohannes Mewaldt). Signa zodiorum astronomica rubr. habet A. De nominibus propriis conf. I. Marquart, *Eranšahr nach der Geographie des Ps. Moses Chorenac'i* (*Abhandl. der Gött. Ges. des Wiss.*, N. F. III, 2), Berol. 1901. Conf. indicem. 3 et 6 πεδιάδαι V. 3 μεταλικά V. 4 σκενώσεις V. 5 δέ om. V. Χαμδάν V. 8 δέ semper om. V. Χωρασάν V. 9 Βάρκ A. 11 θεμέλιοι] θυμελικοὶ A. 13 Μουκᾶ] Μοῦκ A. 14 Χοροσάν A. 15 βάλτη A. θαλάττης A. 17-18 ἐπέκεινα αὐτῆς οἰκουμένη καὶ add. A. 18 τὰ μ. μέταλλα omiserat V, superscr. man. ead. 20 Ἐφράτης A. 25 Βάρκ ex Βαράκ corr. A. Κερμάν] Κυρμὰν A. Κάπουλ] Κάπελε V. 25-26 Ταχαρωστάν] Χαρασταν A. 26 Χαρά V] Χαρᾶ sic A, corr. Cumont. 27 ἐστι] γίνεται A. 29 Ῥαί V. ἄμπελαι V.

[1] Similia invenies *Catal.*, IV (ital.), p. 126 (ex Apomasare), *Catal.*, V, 2, p. 137 ss.

[F. 225v.] On the Climates Assigned to Each Individual Zodiac Sign. [1]

To Aries are assigned Babylon, Persia, Media, Palestine, the plains, the pasturing of animals, the mines, and the encampments of bandits.

To Taurus are assigned Hamadan, the Turks who dwell in the mountains, the waterless plains, the lands lying near the mountains, and those lying near the deer.

To Gemini are assigned Khorasan, Greater Armenia, Khilwan, Burzan, Muqan, Egypt, Barca, Isfahan, Oman, the mountains and hills, the fishing grounds, the places where people play backgammon, and the foundational places.

To Cancer are assigned Lesser Armenia and the regions beyond Muka and the parts of Africa and the more eastern parts of Khorasan and the land of the Sinai and Mallous and Balkh and 15 Media and the lakes and the marshes and the shores of the sea and the rivers.

To Leo are assigned Turkey and the inhabited world beyond it and Tus and the streams and the lead mines and the palaces and the fortresses and the walled cities.

To Virgo are assigned Asia Minor and the Euphrates river and the land called the Island and Kerdan and the fields and the women's quarters of houses and the markets.

To Libra are assigned Romania and its borders as far as Africa and the upper parts of Egypt as far as the Ethiopians and 25 Barka and Kerman and Sijistan and Kabul and Tacharostan and Balkh and Bukhara and the mountains in which grains are sown and the lands that have palm trees and the lands in which there is hunting.

To Scorpio are assigned Arabia Felix and as far as India and Tanze and Kome and Rayy and Sogdia and the vineyards and

We publish from the Vatican codex and Angel. 29 (C. 4. 8), fol. 77', chap. 22 (consulted by Johannes Mewaldt). A has the zodiac signs in astronomical red notation. On proper names cf. I. Marquart, Eransahr nach der Geographie des Ps. Moses Chorenaci (Abhandl. der Gött. Ges. des Wiss., N. F. III, 2), Berlin 1901. Cf. index. 3 εἰ 6 πεδιάδαι V. 3 μεταλικά V. 4 σκενώσεις V. 5 δέ om. V. Χαμδάν V. 8 δέ always om. V. Χωρασάν V. 9 Βάρκ A. 11 θεμέλιοι] θυμελικοί A. 13 Μουκά Μούκ A. 14 Χοροσάν A. 15 βάλτη A. θαλάττης A. 17–18 ἐπέκεινα αὐτῆς οἰκουμένη καὶ add. A. 18 τὰ μ. μέταλλα omnis erat V, superscr. man. ead. 20 Εφράτης A. 25 Βάρκ ex Βαρδκ corr. A. Κερμάν] Κυρμάν A. Κάπουλ Κάπελε V. 25–26 Ταχαρωτάν Χαρστάν A. 26 Χαράν] Χαρά sic A, corr. Cumont. 27 ἔστι γίνεται A. 29 Ραΐ V. ἄμπελαι V.

1 Similar material can be found in Catal., IV (ital.), p. 126 (from Apomnasares), Catal., V, 2, p. 137 ff.

αἱ συκάμινοι καὶ τὰ λοιπὰ φυτὰ τὰ ἐν τῷ κήπῳ καὶ οἱ ῥυπαροὶ τόποι καὶ οἱ σκοτεινοὶ καὶ αἱ φυλακαὶ καὶ τὰ καταλύματα καὶ οἱ φωλεοὶ τῶν ἑρπετῶν.

Τῷ δὲ Τοξότῃ ἀνάκεινται τὰ ὄρη, τὸ Ῥὲ καὶ τὸ Σταχὰν καὶ οἱ ποτάμιοι τόποι καὶ οἱ ναοὶ καὶ οἱ σταῦλοι καὶ οἱ τόποι τῶν ταύρων καὶ τῶν βοῶν.

Τῷ δὲ Αἰγοκέρωτι ἀνάκεινται ἡ Αἰθιοπία καὶ τὸ Μέκκε καὶ ἡ Σίνδα καὶ τὰ μέσα τῆς ἐρυθρᾶς θαλάσσης καὶ ὁ λεγόμενος τόπος δύο θάλασσαι, ἔνθα ἐξέρχονται οἱ μαργαρίται καὶ μέχρι τῆς τῶν Σινῶν χώρας καὶ τὸ Ἀχουὰζ καὶ τὰ ἀνατολικώτερα μέρη τῆς Ῥωμανίας καὶ αἱ παλαιαὶ κινστέρναι.

Τῷ δὲ Ὑδροχόῳ ἀνάκεινται τὸ Κοῦφε καὶ τὸ Χετζὲζ καὶ ἡ τῶν Αἰγυπτίων χώρα καὶ ἡ τῶν Σίνδων χώρα καὶ οἱ τόποι, ἐν οἷς γίνονται τὰ ὑδατώδη ὄρνεα καὶ αἱ ἄμπελοι καὶ τὰ καπηλεῖα.

Τοῖς δὲ Ἰχθύσιν ἀνάκεινται τὸ Ταπαραστὰν καὶ ἡ Ἰβηρία καὶ ἡ λεγομένη Νῆσος καὶ ἡ Ἀλεξάνδρεια καὶ τὰ κύκλῳ μέρη τῆς Αἰγύπτου καὶ ἡ ἐρυθρὰ θάλασσα καὶ τὰ μέρη, ἐν οἷς σαγινεύονται οἱ ἰχθύες.

[F. 231v.] Περὶ ἀριθμῶν τῶν ἀστέρων.

Ἔχουσι δὲ οἱ ἀστέρες ῥητούς τινας ἀριθμούς· οἱ μὲν λέγονται φαρτάροι, περὶ ὧν ἐνταῦθα ἁπλοϊκῶς διέξειμεν. τὰς δὲ αἰτίας τούτων ἐν ἑτέρῳ ἐδηλώσαμεν βιβλίῳ.

Ἐστὶν οὖν ὁ μὲν ἀριθμὸς τοῦ φαρτάρου τοῦ Ἡλίου ἔτη δέκα, τῆς Ἀφροδίτης ιη', τοῦ Ἑρμοῦ ιγ', τῆς Σελήνης θ', τοῦ Κρόνου ια', τοῦ Διὸς ιβ', τοῦ Ἄρεως ζ', τοῦ Ἀναβιβάζοντος γ' καὶ τοῦ Καταβιβάζοντος β', ὁμοῦ ἔτη οε'.

Ὁ δὲ ἀριθμὸς τῶν ἐτῶν αὐτῶν τετραχῶς λαμβάνεται· ἔχουσι γὰρ ἔτη ὑπερμεγέθη, ἔτη μέγιστα, ἔτη μέσα καὶ ἔτη ἐλάχιστα

Ἥλιος ὑπερμεγέθη ,αυξα', μέγιστα ρκ', μέσα λθρ', ἐλάχιστα ιθ',
Ἀφροδίτη ὑπερμεγέθη ,αρνα', μέγιστα πβ', μέσα με', ἐλάχιστα κ',
Ἑρμῆς ὑπερμεγέθη υπ', μέγιστα ος', μέσα μη', ἐλάχιστα κ',
Σελήνη ὑπερμεγέθη ,αρνβ', μέγιστα ρη', μέσα λθρ', ἐλάχιστα κε',
Κρόνος ὑπερμεγέθη σνς', μέγιστα νζ', μέσα μγ', ἐλάχιστα λ',
Ζεὺς ὑπερμεγέθη υκζ', μέγιστα οθ', μέσα με', ἐλάχιστα ιβ',
Ἄρης ὑπερμεγέθη σπδ', μέγιστα ξς', μέσα μα', ἐλάχιστα ιε'.

1 συκάμιναι V. 1-2 τόποι καὶ αἱ φυλακαὶ καὶ οἱ σκοτεινοὶ τόποι A. 2 αἱ φωλεαὶ A. 3 τῶν ἑρπετῶν om. V. 4 καὶ post Ῥέ om. A. 5 καὶ οἱ σταῦλοι post ταύρων pon. A. 7 ἀνάκειται A. Μέκκε] μικράν A. οἱ Σίνδα A. 8 μέσα] μέρη A. 8-9 δύο θάλασσαι] β' θάλασσα A. 9 τῆς post μέχρι om. A. χωρῶν A. 10 παλαιαί] πολλαί A. 13 χώρα post Σίνδων om. A. γίνεται A. 14 ἄμπελαι V. 15 καὶ post Ταπαραστὰν om. A. 16 καὶ post νῆσος om. A. κύκλωθεν A. 24 ἀναβιβάζοντος] ☿ (signum καταβιβάζοντος) cod.

mulberry trees and the other plants in the garden, and dirty places, and dark places, and prisons, and lodgings, and the dens of reptiles.

To Sagittarius are assigned the mountains, Re and Stachan, and the riverside places, and the temples, and the stables, and the places of bulls and oxen.

To Capricorn are assigned Ethiopia, and Mecca, and Sind, and the middle of the Red Sea, and the place called the Two Seas, where pearls come forth, and as far as the land of the Chinese, and Ahvaz, and the more eastern parts of Romania, and the old cisterns.

To Aquarius are assigned Kufa and the Hejaz, and the land of the Egyptians, and the land of the Sindhis, and the places where aquatic birds are found, and vineyards, and taverns.

To Pisces are assigned Tabaristan and Iberia, and the place called the Island, and Alexandria, and the surrounding parts of Egypt, and the Red Sea, and the places where fish are fattened.

[F. 231.] On the numbers of the stars.

The stars have certain specific numbers; some are called fardars, about which we will here give a simple account. The reasons for these we have explained in another book.

The number of the fardār of the Sun is ten years, of Venus 8, of Hermes 13, of the Moon 9, of Saturn 11, of Zeus 12, of Ares 7, of the Ascending Node 3 and of the Descending Node 2, totaling 65 years.

The number of these years is taken in four ways; for they have greatest years, maximum years, mean years, and minimum years: Sun: greatest 1461, maximum 120, mean 391, minimum 19, Venus: greatest 1151, maximum 82, mean 45, minimum 20, Hermes: greatest 480, maximum 76, mean 48, minimum 20, Moon: greatest 1152, maximum 108, mean 391, minimum 25, Saturn: greatest 256, maximum 57, mean 43, minimum 30, Zeus: greatest 427, maximum 79, mean 45, minimum 12, Ares: greatest 284, maximum 66, mean 41, minimum 15.

1 συκάμιναι V. 1-2 places and the prisons and the dark places A. 9 αξ dens A. 3 of the reptiles om. V. of bulls pon. A. 7 ἀνάκειται A. 4 καί post μέ om. A. 5 and the stables post Mecca, small A. the Sinda A. 8 mean] parts A. 8-9 two seas] 2nd sea A. 9 of the post as far as om. A. of regions A. 10 ancient] many A. 13 region post of the Sindoi om. A. becomes A. 14 vines γ. 15 and mine! Taparistan om. A. 16 and post island om. A. all around A. 14 of the Ascending Node) & (sign of the Descending Node) cod.

EXCERPTA EX CODICE 21 (Vatic. 1059)

Ex magno Theodori Meliteniotae[1] opere astronomico medio saeculo XIII confecto, brevia duo hic inseruimus fragmenta. Prooemium et caput primum, quae in I. Bullialdi[2] editione Ptolemaei libri, cui inscribitur περὶ κριτηρίου καὶ ἡγεμονικοῦ, Paris. 1663, p. 214-233 vel in *Patrologia graeca* (t. CXLIX, col. 988 ss.) legere possis, ideo ad fidem solius Vaticani codicis accuratius edita hic repetimus, quia in his Theodorus et de origine scientiae suae disserit et in astrologiam, quam iudiciariam dicimus, acerrime invehitur. Capitulorum totius libri primi titulos addidimus, ut inde operis indoles melius cognoscatur. Ex tertio autem libro, cuius capitulorum seriem item praebuimus, excerptum subiunximus, ut in hoc catalogi nostri tomo, qui multa iam ex Arabicis vel Persicis scriptoribus versa continet, locus quoque inveniatur, ubi Theodorus speciosam scriptorum orientalium cognitionem prodere videtur, quam sane ex Sampsuchari commentariis de temporum rationibus (*Catal.* I, p. 69) mutuatus est, nonnullis nominibus prave de sensu detortis. Hoc excerptum iam magna ex parte Usener, *Ad historiam astron. symbola* (Bonnae, 1876, p. 13 ss.), publici iuris fecerat, cum Gildemeisteri notis eruditis, quas hic ex laterculis Henrici Suter supplere vel corrigere licuit.

[F. 228.] Τοῦ σοφωτάτου καὶ λογιωτάτου μεγάλου σακελλαρίου καὶ διδασκάλου τῶν διδασκάλων τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας καὶ ἀρχιδιακόνου τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου κυρίου Θεοδώρου τοῦ Μελιτηνιώτου
5 ἀστρονομικῆς τριβίβλου ἡ πρώτη ἢ ψηφοφοριῶν εἰσαγωγή.

« Θεὸς ἡγείσθω παντὸς ἔργου τε καὶ λόγου », φησί τις, τῶν πάλαι σοφῶν, κἀγὼ μετ' αὐτοῦ νυνὶ τῆς παρούσης συντάξεως· καὶ συνδιεξαγέτω μοι θεία τὸν λόγον ἄνωθεν ἐπίπνοια χεῖρα προτείνων τε καὶ

R = cod. Vaticanus. V = Editio Bulliadi. M = Editio Mignii. U = Editio Useneri. 1 F. 228 in margine adnotatur de Theodoro : Ὁ ἀνὴρ οὗτος ὁ τὴν παροῦσαν βίβλον συγγεγραφὼς δοκεῖ δὴ κάμοὶ μηδενὸς ἀποδεῖν τῶν ἐπὶ σοφίᾳ περιβοήτων· κατά γε τὸ μαθηματικὸν εἶδος τῆς φιλοσοφίας ἔτι κἀγὼ δοκῶ δύνασθαι κρίνειν περὶ τὰ τοιαῦτα. εὐπεριμερίμνως οὖν δεῖ χρῆσθαι τοῖς ὑπ' αὐτοῦ λεγομένοις μηδένα λόγον ποιουμένους τῶν ἐπιχειρούντων αὐτὸν διασύρειν· εἰσὶ γάρ τινες ὀλίγοι κομιδῇ τῶν ἐπ' ἐμοῦ γενομένων οἳ διὰ φαυλότητα γνώμης ἀπηρυθριασμένως καὶ τοῦτο ποιεῖν ἐτόλμησαν. 1-5 Θεοδώρου Μελιτηνιώτου καὶ μεγάλου σακελλαρίου τῆς Μεγάλης Ἐκκλησίας Προοίμιον εἰς τὴν ἀστρονομίαν V M. 5 ψηφιφοριῶν R (saepe); corr. U. 6 παλαίων V M. 7-8 συνεξαγαγέτω V, συνεξαγέτω M. 8 τῶν λόγων V M.

[1] Cf. Leonis Allatii de Theodoro Melitenita dissertationem, in A. Maii *Patrum nova Bibliotheca vol. VI p. 191-193.*

[2] Usus est hic vir doctus « Manuscripto libro Bibliothecae Domini Isaaci Vossii » l. c., p. 212; qui codex nunc Lugduni Batav. inter Vossianos asservatur.

EXCERPTS FROM CODEX 21 (VATIC. 1059)

From the great astronomical work of Theodore Meliteniotes, composed in the mid-thirteenth century, we have inserted here two brief fragments. The prooemium and first chapter, which can be read in I. Bullial[1]d's edition of Ptolemy's book entitled περὶ κριτηρίου καὶ ἡγεμονικού, Paris. 1663, pp. 214–233, or in the Patrologia graeca (vol. CXLIX, col. 988 ff.), we repeat here edited more carefully according to the sole Vatican codex, because in these passages Theodore both discusses the origin of his science and attacks most sharply the astrology which we call judicial. We have added the chapter titles of the entire first book, so that the character of the work may be better understood from them. From the third book, whose sequence of chapters we have likewise provided, we have appended an excerpt, so that in this volume of our catalogue — which already contains much translated from Arabic or Persian writers — there may also be found a place where Theodore appears to display an impressive knowledge of oriental writings, which he had indeed borrowed from the commentaries of Sampsucharis on the reckoning of time (Catal. I, p. 69), with a number of names distorted in meaning through corruption. This excerpt had already been largely published by Usener, Ad historiam astron. symbola (Bonn, 1876, pp. 13 ff.), together with the learned notes of Gildemeister, which it has here been possible to supplement or correct from the tables of Heinrich Suter.

[F. 228.] The First Book of the Astronomical Tribiblos of the most wise and most learned Grand Sakellarios and Teacher of Teachers of the most holy Great Church of God and Archdeacon of the pious imperial clergy, Lord Theodore Meliteniotes, or Introduction to Calculations. "Let God lead every work and word," as one of the ancient sages says, and I join him now at the outset of the present composition; and may divine inspiration guide my discourse from above, extending a hand and R = cod. Vaticanus. V = = Editio Bulliadi. M = Editio Mignii. U = Editio Useneri. 1 F. 228 is noted in the margin concerning Theodore:

This man who wrote the present book seems to me to be second to none of those renowned for wisdom, at least in the mathematical branch of philosophy, insofar as I consider myself able to judge in such matters. One must therefore make careful and attentive use of what he says, paying no heed to those who attempt to disparage him; for there are a very few among those of my time who, through baseness of judgment, have shamelessly dared to do even this. 1–5 Proem to Astronomy by Theodore Meliteniotes and Grand Sakellarios of the Great Church, in M. 5 ψηφιφοριών R (frequently); corr. U. 6 παλαίων V M.7–8 συνεξαγαγέτω U, συνεξαγέτω M. 8 τῶν λόγων V M.

---

1 Cf. Leo Allatius's dissertation on Theodore Meliteniotes, in A. Mai's Patrum nova Bibliotheca vol. VI pp. 191–193.

2 This learned man made use of "a Manuscript book from the Library of Sir Isaac Vossius," l. c., p. 212; which codex is now preserved at Leiden among the Vossiani.

ἐπιρρωννὺς ἐν παντὶ τῷ παραστάντι Θεός, Θεός, οὗ θεῖον τῷ ὄντι δῶρον καὶ οἷον οὔθ' ἧκεν οὔθ' ἥξει πρὸς αὐτοῦ τοῖς καθ' ἡμᾶς κατεπέμφθη φιλοσοφία, ἐνέργεια νοῦ μακαρία γε οὖσα καὶ ἀσχολία τὰς περὶ σῶμα πάσας, ὅσον οὐδ' ἔστ' εἰπεῖν λόγῳ, λαμπρῶς ὑπεραίρουσα, τῶν μὲν ἐρχομένων χαμαὶ καθάπαξ ἀπανιστᾶσα, τῶν ὁρωμένων δ' ὑπεράνω τιθεῖσα καὶ κοινωνοὺς τῶν Ὀλύμπου πραγμάτων τοὺς αὐτῆς τροφίμους ποιοῦσα, τοὺς περὶ γῆν στρεφομένους, ἔτι καὶ τὸ δὴ μέγιστον εἰς μίμησιν ἥκοντας, ὅσον ἐφικτόν, τοῦ Θεοῦ. ἣν ὑμνοῦσι μὲν οἵ τε τρόφιμοι ταύτης καὶ ὅσοιπερ ἀπὸ τῆς συννάου ταύτῃ ποιητικῆς, ὑμνοῦσι δὲ λογοποιοί τε καὶ οἷς τὸ τὴν γλῶτταν ἐξελληνίζειν σπουδή, πλὴν εἰ μή πού τις μανίαν ἀπαρηγόρητον μαίνεται. οὕτω μέγα καὶ θεῖόν τι χρῆμα σοφία καὶ οὕτως ὑπερφυὲς ἐννοῆσαι, ὡς μηδ' ἔχειν εἰπεῖν μήτε τῶν παρ' ἡμῖν ἕτερον παμπληθὲς ὑπερέχειν τῶν ἄλλων. οὔκουν οὐδὲ γέγονεν οὐδ' ἄλλῳ τῳ μηδενὶ τὸ πρόσρημα τόδε ἐπενεγκεῖν οὔτ' ἄλλου μᾶλλον σοφίας ἀνθρώπῳ προσήκειν, οὔκουν οὐδ' ἔστιν ἄλλως, μὴ σοφίας ὑπούσης, τῷ ὄντι καταφανῆναι κάλλιστον καὶ ἄνθρωπον ἀληθῶς λόγῳ τε χρώμενον καὶ τούτῳ τῶν λοιπῶν μετεχόντων τοῦ ζῆν διαφέροντα.

Τῆς τοίνυν σεμνοτάτης φιλοσοφίας τὰ περὶ τὸν οὐρανὸν θεωρήματα τοῦ θεολογικοῦ δίχα πάντων ὑπερανιδρυμένου τὸ κράτιστον καὶ κεφάλαιον. καὶ πάρεστι τὸ τῆς ὑπερνεφοῦς ἀστρονομίας ὑπερβάλλον ὁρᾶν. ἣ τῶν ἄλλων οὖσα καθάπαξ ἐπίπροσθεν ὕλην μὲν ὑποβέβληται κατὰ τὸν εἰπόντα τὸ μακάριον οὐρανοῦ σῶμα, παρέχει δὲ τήν τε αἰτίαν τῇ λοιπῇ μαθηματικῇ θεωρίᾳ καὶ ὅλως τὴν γένεσιν ἀριθμόν τε ἤδη τὸν σύστοιχον κόσμῳ γεννῶσα καὶ ἁρμονικοὺς λόγους καὶ μουσικήν· τά τε τῶν γραμμῶν οὐσιοῦσα πάθη καί, ὡς ἔπος εἰπεῖν, δημαγωγοὺς οὐρανίους καὶ σοφιστὰς ἐν αἰθέρι τοὺς ἀνθρώπους ποιοῦσα, μηκέτ' ἐπιψαύειν γαίης ποσὶ δοκοῦντας, ὅταν ἄστρων κατὰ νοῦν ἀμφιδρόμους ἰχνεύωσιν ἕλικας.

Εἴπω τὸ μεῖζον καὶ τελεώτερον· «οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα» καὶ ὅτ' ἐγεννήθησαν ἄστρα, φησὶ πρὸς Ἰώβ, ὁ ἀριθμῶν πλήθη ἄστρων καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν, τούτων δημιουργός, ἤνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου καὶ ὕμνησαν. τί τἆλλα; ἀλλ' Ἀβραὰμ ὁ μακάριος, τῶν

1 ἐπιρωννύς V. 2 τοῖς om. M. 7 τούς om. T M. 10 ἑλληνίξειν V M. 11 ἀπαραγόρητον V. 12 ὑπερφυῶς V M. μηδέ V M. 13 μήτε τι V M. οὐκοῦν V M. 14 προσρῆμα V. τόδε] τοῦτ' V M. 14-15 ad οὔτ' ἄλλου adnot. V M in marg. οὐδὲν ἄλλο. 15 οὐκοῦν V M. εἰπεῖν post ἔστιν add. R, sed expunxit librarius. 20 θεολογικοῦ] θεωρητικοῦ R. 22 ἢ] ἢ V M. 25 κόσμῳ γεννῶσα τὸν σύστοιχον V M. 27-28 κατ' V M, in marg. ποτ'. 28 ἐπιψαεύειν sic V. 27-29 Cf. Ptolem., *Anthol. Pal.*, IX, 577 : Ἀλλ' ὅταν ἄστρων | Ἰχνεύω πυκινὰς ἀμφιδρόμους ἕλικας | Οὐκέτ' ἐπιψαύω γαίης ποσίν. 30 τελειότερον M, τελειώτερον V. 30-31 Psalm. XVIII, 2. 31 ὅτε V M. Iob XXXVIII, 7. 33-34 τούτων δημιουργός om. V M. 34 ἀλλ' om. V M.

God, strengthening in every circumstance that presented itself — God, whose truly divine gift is philosophy, such as has neither come nor will come to those of our time sent down from him, a gift sent in his name — philosophy, which is a blessed activity of the mind and an occupation surpassing, beyond all power of words to express, all bodily concerns whatsoever, lifting us wholly away from things that creep upon the ground, placing us above the things that are done, and making those nurtured by it sharers in the affairs of Olympus, even those who are occupied with earthly things, and what is greatest of all, bringing them to imitate God as far as is attainable. This philosophy is hymned by those who are nurtured by her and by all who come from the poetic art that shares her temple, hymned by prose writers and by those whose earnest endeavor is to speak the Greek tongue with purity — unless someone is afflicted with an incurable madness. So great and so divine a thing is wisdom, and so surpassingly wondrous to contemplate, that one cannot say that any other thing among us surpasses all others by so wide a margin. Indeed, it has never been possible for anyone whatsoever to apply this appellation to any other thing, nor is wisdom more properly the attribute of any other kind of human being; and indeed it is not otherwise possible, in the absence of wisdom, for what is truly most beautiful to become manifest — a human being genuinely employing reason and thereby differing from the rest of those who share in life.

The celestial theorems of the most venerable philosophy constitute the supreme and paramount achievement, set above all things apart from theology. And one can behold the surpassing excellence of supernal astronomy. Being altogether foremost among the other sciences, it has as its subject matter, according to the one who spoke of the blessed body of heaven, and furnishes both the foundation for the rest of mathematical contemplation and, in general, the principle of generation, producing the number already coordinated with the cosmos, harmonic ratios, and music; giving substance to the properties of lines, and, so to speak, making men heavenly demagogues and sophists in the ether, seeming no longer to touch the earth with their feet, whenever they trace in their minds the revolving spirals of the stars.

Let me speak of something greater and more perfect: "The heavens declare the glory of God, and the firmament proclaims the work of his hands"; and when the stars were born, says he who speaks to Job — he who numbers the multitudes of stars and calls them all by name, their creator — "all my angels praised me with a great voice and sang hymns." What more is there to say? Indeed the blessed Abraham, of the

1 ἐπιρωννύς V. 2 τοῖς om. M. 7 τούς om. TM. 10 ελληνίζειν V M. 11 απαραγόρητον V. 12 ὑπερφυώς V M. μηδέ VM. 13 μήτε τι ν M. οὐκοῦν ν M. 14 προσρήμα V. τόδε] τοῦτ' VM. 14–15 ad οὔτ᾽ ἄλλου adnot. V M in marg. nothing else. 15 οὐκοῦν VM. εἰπεῖν post ἔστιν add. R, sed expunxit librarius. 20 θεολογικοῦ] θεωρητικού R. 22 ἢ ἢ VM. 25 κόσμῳ γεννώσα τὸν σύστοιχον V M. 27-28 κατ' ν M, in marg. ποτ'. 28 ἐπιψαεύειν sic V. 27–29 Cf. Ptolem., Anthol. Pal., IX, 577: But when I trace the stars' | Dense revolving Spirals | No longer do I touch the earth with my feet. 30 τελειότερον M, τελειώτερον V. 30-31 Psalm. XVIII, 2. 31 8TE VM. Job XXXVIII, 7. 33-34 τούτων δημιουργός om. V M. 34 ἀλλ' om. V M.

Ἀσσυρίων ἐκφύς τῇ πολυθέῳ καθάπαξ ἐνισχημένων πλάνῃ, πρῶτος, εἴη δ' εἰπεῖν καὶ μόνος, τὸν τιῶν ὅλων ἔγνω ποιητὴν καὶ Θεόν, πολυίστωρ ὢν καὶ πανσύνετος, φησί τις ἀνὴρ ἱερός, ἀποπροσποιούμενος μὲν τὸ τῶν Ἀσσυρίων ἐγχείρημα, τὴν δὲ τῆς ἀληθείας κατάληψιν ἀρκεῖν ἡγού-
5 μενος ἑαυτῷ πρὸς πᾶσαν εὐετηρίαν, ἐπεὶ καὶ μόνην οἶδεν εὐδαιμονίαν φιλοσοφία τὴν τῆς ψυχῆς εὐεξίαν, καὶ μέντοι καὶ τὴν ἀληθῆ περὶ θεοῦ κτησάμενος γνῶσιν τοῖς κατ' οὐρανὸν θεάμασι τὸν ἡγεμόνα νοῦν ἀκριβῶς ἐπιστήσας, κράτιστος ὢν τὰ τοιαῦτα καὶ ξύμπασαν ἀστρονομιας ἔχων τὴν ἐπιστήμην.

10 Ἔχω καὶ τόδε προσθεῖναι καὶ ὄντως ἐπὶ καιρόν· πολιτεύεται μὲν γὰρ τῇ καθ' ἡμᾶς φύσει δι' ἡμᾶς ὁ σωτήρ, μυρίων δ' ὅσων θαυμάτων χρησάμενος ἐπιδείξεσι, τέλος τοῦ τῶν Ἰουδαίων ἐπιθεμένου τούτῳ φθόνου κακῶς, ἑκὼν ἐπὶ τὸν σταυρὸν ἀνάγεται καὶ πάσχει σαρκί. [f. 228v] τότε τοίνυν πρός γε τοῖς ἄλλοις παραδόξως γεγενη-
15 μένοις καὶ σκότος Ἡλίου καταχεόμενον ἦν, τοῖς ἠκριβωκόσι κάλλιστα τὰ οὐράνια πάντων μάλιστα παρέχον μανθάνειν θεὸν εἶναι τὸν ξύλῳ μετεωρισθέντα τῆς καταδίκης. τὴν γὰρ ἑκάστοτε γινομένην ἐκλειπτικὴν φαντασίαν τοῦ τῆς ἡμέρας ὀφθαλμοῦ λαμπροτάτου ἐκ τῶν περὶ τὴν συνοδικὴν συζυγίαν τῆς Σελήνης ἐπιπροσθήσεων
20 ἔστιν ὁρᾶν τῷ τῆς φύσεως ἀποτελουμένην ὄρῳ καὶ μόνης κεκτημένην χρόνον οὐδέποτε. ἔτι γε μὴν καὶ τὸ πρῶτον ἐκλεῖπον μέρος τοῦτ' αὐτὸ καὶ πρώτως ἀναπληρούμενον, ὥσπερ αὖ τὸ τελευταίως ἐπισκοτούμενον, ἀνακαθαιρόμενον ἔσχατον, ἀλλὰ καὶ ἄλλοτ' ἄλλοις ἀνθρώπων ἐπὶ διαφόρων μερῶν φανταζομένην τῆς γῆς. τὴν δ' ἐν τῷ σωτηρίῳ πάθει
25 γεγενημένην ἔν τε πανσελήνῳ τηνικάδε νομικοῦ θυομένου φάσκα τελεσθῆναι σὺν θαύματι, τῆς Σελήνης οὔσης ἐκ διαμέτρου, κἀκεῖθεν δραμούσης ἀχρόνως πρὸς σύνοδον. καὶ αὖθις αὖ τῆς προτέρας τυχούσης ἐκτόπως στάσεως καὶ τοῖς ὅλοις ἐπὶ τρισὶν ὅλαις ὥραις οὕτω διαμεῖναι μετὰ τὸν τοῦ πρώτου ἐκλείποντος χρόνον, τοῦ μὲν πρώτως
30 ἐμπεπτωκότος μέρους ἀνακαθαρθέντος ὑστάτου, τοῦ δ' αὖ ὕστερον πρώτου· πρὸς δὲ καὶ ζόφου πᾶσαν κατὰ ταὐτὸν πληρῶσαι τὴν ἀφ' Ἡλίου ἀνίσχοντος ἄχρι καὶ δυομένου. ἃ δὴ πάντα μεγάλως ἐκπλήττοντα καὶ τὸ περιὸν δεικνύντα τῆς τοῦ σταυρωθέντος ἰσχύος, μόνος ἂν εἰδείη σαφῶς ὅ γ' εἰς τοὔσχατον ἀστρονομίας ἰών. ἔνθεν τοι καὶ γνοίη
35 μάλ' ἀκριβῶς, εἰ μὴ συντίθοιτο ἐθελοκακεῖν, χρώμενος ὡσπερεὶ παιδοτρίβῃ, τῇ τῶν οὐρανίων ἐπιστημονικῇ θεωρίᾳ τἀληθὲς ἤδη προαγγελ-

1 ἐνισχημένος V M. 4 τὴν ἀληθείας R. 6 φιλοσοφία R V M, φιλοσοφίαν V M in marg. corr. 8-9 ἀστρονομίαν V. 11 μυρίων δέ V M. 15-16 κάλλιστα] ἀκριβῶς V M. 17 τὴν μέν γάρ V M. γιγνομένην V M. 22 αὖ τό] αὐτό V M. 23 ἔσχατον] ὕστατον V M. ἀνθρώποις M. 24 φανταζόμενον V M. τὴν δὲ V M. σωτηρίῳ] Σωτῆρος V M. 25 ad φάσκα adnot. M Πάσχα. 29-30 τοῦ μὲν πρώτως - ὑστάτου om. V M. 31 ζόφον V. πληρῶσαι om. V M. ἀφ'] ὑφ' V M. 32 ἃ δὴ πάντα om. V M. 35 μάλα V M. ὡσπερεί corr. V M ex ὡς περί.

Born of the Assyrians, who were once and for all ensnared in polytheistic error, he was the first — and one might say the only one — to know the Maker and God of all things, being a man of vast learning and complete understanding, as a certain holy man says, rejecting the enterprise of the Assyrians and considering the apprehension of truth sufficient for himself toward every prosperity, since philosophy knows only one happiness — the well-being of the soul — and moreover, having acquired true knowledge of God, he applied his governing intellect with precision to the spectacles in the heavens, and would be most capable in such matters, possessing the whole science of astronomy.

10I have this also to add, and it is truly timely: the Savior conducts his life in our nature for our sake, and after making use of countless miraculous demonstrations, at the end, when the envy of the Jews wickedly attacked him, he willingly goes up to the cross and suffers in the flesh. [G. 2289] At that time, then, in addition to all the other things that came to pass in a paradoxical manner, there was also a darkening of the Sun spreading over all, providing above all others — above all — to those who had made the most precise study of heavenly matters the lesson that the one raised upon the wood of condemnation was God. For the ecliptic phenomenon of the brightest eye of day, which occurs each time, can be seen as produced by the occultations arising from the conjunctive syzygy of the Moon within the limit of nature, and belongs to it alone and never at any other time. Furthermore, the very part that first undergoes eclipse is also the first to be replenished, just as the part last overshadowed is the last to be cleared; and moreover, it appears at different times to different people in different regions of the earth. But the eclipse that occurred during the saving Passion — when at the full moon, at the time when the legal Passover was being sacrificed — was accomplished with wonder, the Moon being in opposition, and then rushing instantaneously from there to conjunction.And again, when the former had attained an extraordinary standstill, it remained thus for all three full hours throughout the whole world after the time of the first eclipsed part, the part that first fell into shadow being cleared last, and the part last overshadowed being cleared first; and in addition to this, it filled the entire expanse with darkness simultaneously, from the rising of the Sun all the way to its setting. All these things, which strike with great amazement and demonstrate the surpassing power of the crucified one, only he who has advanced to the uttermost limit of astronomy would know clearly. From this, one would understand with great precision — if he were not disposed to willful ignorance — using as a kind of trainer the scientific contemplation of heavenly things, the truth already proclaimed in advance —

1 ενισχημένος V M. 4 τὴν ἀληθείας H. 6 φιλοσοφία RV W, φιλοσοφίαν in marg. corr. 8-9 ἀστρονομίαν V. 11 μυρίων δέ V M. 15-16 κάλλιστα] ἀκρι-βῶς VM. 17 τὴν μὲν γὰρ V M. γιγνομένην ν M. 22 αὖ τό] αὐτό V M. 23 ἔσχατον] ὕστατον V M. ἀνθρώποις M. 24 φανταζόμενον Y M. τὴν δὲ V M. σωτηρίῳ] Σωτῆρος VM. 25 ad φάσκα adnot. H Πάσχα. υστάτου om. V M. 31 ζόφον V. πάντα om. V. 35 μάλα V M. V M 29 30 to me first -nplousai om. V M. ἀφ'] ὑφ' V M.n32 & corr. V M ex as approx. denominates

λούσῃ μὴ ψιλὸν ἄνθρωπον εἶναι, θεάνθρωπον δὲ τὸν ἐπὶ ξύλου κρεμάμενον. εἰ δὴ καὶ τὸ νυκτερινὸν τότε σκότος ἐν μεσημβρίᾳ μὴ συμβὰν ἧπερ δοκεῖ τῇ τέχνῃ φύσεως πάντως ἀκολουθία, θεοῦ δὲ θαυμασίως προστάγματι.

Ὥστε ἔξεστι μὴ ὅπως θεσπέσιόν τι χρῆμα καὶ κάλλιστον ἐν ἀνθρώποις τιμιωτάτην καὶ θειοτάτην τῆς λοιπῆς θεωρίας ἔχουσαν τάξιν τὴν ὑπέρσεμνον ἀστρονομίαν καὶ ἄνω βαίνουσαν προσειπεῖν, ἀλλὰ καὶ τρόπον κήρυκος σεβασμιωτάτου πρὸς ἡμᾶς ἥκειν πρὸς τοῦ θεοῦ πᾶσι διαδεικνῦσαν τοῖς καλῶς ξυνορῶσι τὸ δέον καὶ λαμπρῶς ἀπαγγέλλουσαν ὑπὲρ ἀνθρώπων αὐτὸν γενόμενον ἄνθρωπον, θεὸν αὖθις μένοντα καὶ τῷ τῆς σαρκὸς προσλήμματι πᾶσαν ἐπὶ τοῦ σταυροῦ τὴν φύσιν ἀνανεούμενον. ἀστρονομίαν καὶ γὰρ παλαιὸς λόγος πρὸς θεοῦ δι' ἀγγέλου καὶ ἀληθῶς ἔχων δεδόσθαι τοῖς ἐκ τοῦ Σήθ[1].

Εἶεν δή. τὸ μὲν οὖν τοὺς γινομένους ἑκάστοτε σχηματισμοὺς τῶν κινήσεων Ἡλίου τε καὶ Σελήνης καὶ τῶν λοιπῶν ἀστέρων πρός τε ἀλλήλους καὶ τὴν γῆν θεωρεῖν τό τε δι' ἀστρονομίας προγνωστικόν, τοῦτο δὴ ταῖς ἀληθείαις εἰδέναι τέλος, περὶ ὧν ἡ σπουδὴ τῷ Πτολεμαίῳ ἐν τοῖς τρισὶ πρὸς τοῖς δέκα βιβλίοις τῆς Μεγάλης Συντάξεως καὶ γνῶσιν ἡγεῖσθαι ταῦτα διὰ φιλοσοφίας ἐπιστημονικὴν περί τινων ὑπὸ θεοῦ παρηγμένων φύσεων ὅπῃ τε ἔχει καὶ ὅπως ταῦτα φέρεται, θεϊκοῖς πειθαρχοῦντα πάντως ὅροις τε καὶ προστάγμασι, μέγα δέδεικται πολλαχόθεν καὶ ὡς ἀληθῶς ὑπέρμεγά τε καὶ περισπούδαστον. τό γε μὴν τὰς δραστικὰς τούτων ποιότητας καὶ τὴν φυσικὴν τῶν συσχηματισμῶν αὐτῶν ἰδιοτροπίαν αἰτίαν τῶν περὶ ἡμᾶς συμπτωμάτων τίθεσθαι καταψευδομένους τῶν οὐρανίων κάκ τῆς τούτων κινήσεως τὰς γενέσεις πλέκειν καὶ τὰ συμβαίνοντα κάντεῦθεν δοκεῖν τὴν τῶν μελλόντων ἔχειν εἰδέναι πρόγνωσιν, ὃ δὴ τῆς ἀστρολογικῆς, τῆς δ' αὐτῆς καὶ μαθηματικῆς λαχούσης ἐξαιρέτως κεκλῆσθαι πολυασχόλου ματαιότητός ἐστι τῇ τῶν ἄστρων κινήσει τὰ ἡμέτερα συμφερούσης.

[F. 229] Τοῦτο τοίνυν πρὸς τὸ μηδὲν ὑγιὲς κεκτῆσθαι καὶ ἀληθείας ἐχόμενον καὶ πρὸς πλάνην φέρει καὶ βυθὸν ἀπωλείας τοῖς εὐσεβεῖν ἐθέλουσι πάνυ τοι λυμαινόμενον. ταῦτ' ἄρα καὶ νόμοι θεῖοι καὶ θεσπεσίων καὶ θεοπρεπῶν θεσπίσματα διδασκάλων σύν γε τοῖς τὴν μαγικὴν κακοτεχνίαν καὶ θεοῦ πόρρω βάλλουσαν κακῶς καὶ ἀθέως ἐξησκημένοις

1 τόν (ante ἐπὶ ξύλου) om. M. 5 μὴ ὅπως] μὴν ὄντως ὡς VM. τήν post κάλλιστον add. VM. 6 ἔχουσα V. 8 παρ' ἡμᾶς VM. 9 δεικνῦσαν VM. 11 τοῦ (ante σταυροῦ) om. VM. 12-13 καὶ γὰρ πρὸς Θεοῦ δι' ἀγγέλου παλαιὸς λόγος VM. 14 εἶην V, εἴη M. 17 ταῖς ἀληθείαις corr. ex τὰς ἀληθείας VM. 21 πειθαρκοῦντα V. 22 ὑπερσπούδαστον VM. 26 ξυμβαίνοντα VM. 30 πρὸς τῷ M. 32 λυμαινόμενοι M. 34 ἐξησκημένην corr. V in marg. in ἐξησκημένοις, ἐξησκημένην M.

---

[1] Plerumque Seth ipse astrologiae inventor laudatur. Cf. *Catal.* VII, p. 87, 3 et quae Boll ibi congessit. Vide infra p. 140, 1.

that the one hanging on the wood was not a mere man, but the God-man. And if the nocturnal darkness that then occurred at midday did not happen in accordance with what the art of nature seems to follow in every respect, but rather by the wondrous command of God.

So that it is possible to call the august astronomy not only some divinely inspired and most beautiful thing among men, holding the most honored and most divine rank among the rest of contemplation, and ascending on high, but also to say that it comes to us after the manner of the most venerable herald from God, making plain to all who rightly perceive what is needful and brilliantly proclaiming that he became man on behalf of men, remaining God still and renewing all of nature upon the cross through the assumption of flesh. For an ancient account holds that astronomy was truly given by God through an angel to the descendants of Seth.

Well then, to observe the configurations that arise from time to time in the movements of the Sun and Moon and the remaining stars in relation to one another and to the earth, and to know through astronomy the art of forecasting — to know this truly as a final aim, which is the concern of Ptolemy in the thirteen books of the Great Syntaxis — and to consider this knowledge through philosophy as scientific knowledge of certain natures brought forth by God, how they stand and how they move, obeying entirely divine limits and ordinances: this has been shown to be a great matter, celebrated in many places, and truly surpassingly great and worthy of serious pursuit. But to posit the active qualities of these bodies and the natural peculiarity of their configurations as the cause of the events that befall us, falsifying the heavenly realities, and to weave nativities from their movements and the things that happen, and thereby to think one has foreknowledge of future events — which is what astrology, the same art also distinctively called mathematics, engages in — this is the busy vanity of one who attributes our affairs to the movement of the stars.

[F. 229] This, then, possesses nothing sound or grounded in truth, and it leads to error and an abyss of destruction, doing great harm to those who wish to live piously. For this reason, divine laws and the decrees of inspired and godly teachers, along with those who have practiced the wicked craft of magic — which casts God far away — wickedly and impiously,

1 τόν (ante ἐπὶ ξύλου) om. M. 5 μὴ ὅπως] μὴν ὄντως ὡς VM. τήν post κάλλιστον add. V M. 6 ἔχουσα N. 8 παρ' ἡμᾶς VM. 9 δεικνύσαν VM. 11 τοῦ (ante σταυρού) om. V.M. 12-13 καὶ γὰρ πρὸς Θεοῦ δι' ἀγγέλου παλαιός λόγος M. 14 εἴην V, εἴη M. 17 ταῖς ἀληθείαις corr. ex τὰς ἀληθείας V M. 21 πειθαρκοῦντα V. 22 ὑπερσπούδαστον V M. 26 Συμβαίνοντα V M. 30 πρὸς τῷ M. 32 λυμαινόμενοι M. 34 ἐξησκημένην corr. V in marg. in ἐξησκημένοις, ἐξησκημένην M.

1 Seth himself is most commonly praised as the inventor of astrology. Cf. Catal. VII, p. 87, 3 and what Boll assembled there. See below p. 140, 1.

καὶ μαθηματικοὺς εἴτ' οὖν ἀστρολόγους ὡς εἰκὸς ἀποτροπιάζονται, ἅτε δὴ πρὸς τὰ ἄνω κεχηνότας γε μάτην καὶ τῇ τούτων κινήσει τὴν ἡμετέραν προσαρτῶντας ζωήν, θεομαχοῦντας ἄντικρυς καὶ βαίνοντας ὄντως ὑπὲρ τὰ ἐσκαμμένα ἐπὶ κακῷ δήπου τῆς σφῶν αὐτῶν κεφαλῆς, 5 ἐν ἴσῳ δ' εἰπεῖν καὶ ψυχῆς.

Ἀλλ' ἐκείνους μὲν οὕτω, πάντως δ' ἀξίως τῆς ἡμετέρας ἐξωθοῦσιν αὐλῆς οἱ καλῶς αὐτῆς προιστάμενοι, ἐγὼ δὲ τούτοις, ὅσα καὶ παῖς πατράσιν ἑπόμενος τοῖς ἱεροῖς τροφεῦσι καὶ παιδευταῖς καὶ παρ' οὐδὲν μὲν ἄγων καὶ διαπτύων δυοῖν τῶν τῆς ἀστροθεάμονος σοφίας εἰδῶν τὸ 10 δεύτερον ὡς ἐπίβουλόν τε καὶ σφαλερόν, καθὸ τὰς ἐμπεριεχομένας μεταβολὰς διὰ τοῦ τῶν ἀστέρων συσχηματισμοῦ ἀποτελουμένας οἱ περὶ ταῦτα κομψοὶ τηνάλλως φασὶν ἐπισκέπτεσθαι καὶ λίαν ἐπικινδύνως. τὸ πρότερον δὲ τῇ τάξει τε καὶ δυνάμει, καὶ φέρεται γὰρ τὰ πρῶτα κατὰ τῶν ἄλλων, πρὸς μεγίστην ὄνησιν φέρον καὶ περὶ τὰς τῶν ἀστέρων μόνον 15 κινήσεις ἔχον ἐν λόγῳ τιθέμενος ἔδοξα πρὸς εὔχρηστον τῆς θεωρίας ὑπομνηματισμὸν ἐμαυτοῦ τε χάριν καὶ τῶν γε προτρεψάντων ἐκ παλαιτάτου συνήθων, ἐν μὲν τῇ πρώτῃ βίβλῳ τοῦ παρόντος συντάγματος, ὡς ἐν κεφαλαίοις, ψηφοφοριῶν εἰσαγωγὴν προεκθέσθαι τε καὶ ὑποτυπώσασθαι. πρός τε τὴν δευτέραν καὶ τὴν τρίτην μάλα συντεί- 20 νουσαν, ἧς πέρι πλεῖστα συγγράμματα διεξοδικώτερον εἴργασται τῷ φιλοσόφῳ Συριανῷ, Θέωνί τε καὶ Πάππῳ τοῖς μαθηματικοῖς καὶ Ἰωάννῃ γραμματικῷ, τῷ τῆς Ἀλεξάνδρου πολίτῃ. ἔστι δὲ ἃ ταύτης καὶ παρ' ἡμῶν προσεξεύρηται. κατὰ δὲ τὴν δευτέραν τὰς τῆς Μεγάλης Συντάξεως ψηφοφορίας τῶν τε πλανωμένων καὶ ἀπλανῶν 25 μεθοδικώτερον ἐφοδεῦσαι καὶ ὑποδείγμασιν εὐχερεῖς ἐργάσασθαι ἀναγράψαι τε ἅμα καὶ τὰς τῶν προχείρων κανόνων ψηφοφορίας ὡς ἐν ὑποδείγμασι καὶ δεῖξαι τὴν ἀμφοτέρων ἐν ἅπασι συμφωνίαν. εἶτα κατὰ τὴν τρίτην τὰς τῶν Περσικῶν προχείρων κανόνων ψηφοφορίας περιέχουσαν συμπεραῖναι τῆς παρούσης συντάξεως, ἥπερ ἀστρονομικὴ 30 τρίβιβλος τοὔνομα. τοῖς μὲν ἄλλοις πάντως ἀχρεία καὶ παρορᾶσθαι δικαία, ἀλλὰ τοῖς γε πρὸς τὸν λόγον κεκινηκόσιν ἡμᾶς ἑταίροις χρήσιμος ἡ τῆς τοιαύτης θεωρίας ὑπόμνησις, κἀμοὶ δὲ τῷ γεννησαμένῳ Θεοδώρῳ τῷ Μελιτηνιώτῃ, ἐκφύντι μὲν ἤδη τῆς Κωνσταντίνου καὶ νέας Ῥώμης, τελοῦντι δ' εἰς τὴν ἐν Χριστῷ διακονίαν κἀκ τῆς ἀξίας 35 συγκλήτου τῆς ἱερᾶς μεγάλῳ σακελλαρίῳ καὶ διδασκάλῳ τῶν διδασκάλων τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας καὶ ἀρχιδιακόνῳ τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου.

6 πάντας VM. δέ VM. 9 ἀστραθεάμονος V. 10 τὰς τῶν ἐμπεριεχομένων μ, VM. 11 διὰ τῶν τῶν ἀ. συσχηματισμῶν VM. 12 τηνάλως V. 17 παλαιοτάτων VM. 18 τε om. VM. 20 διείργασται U. 26 ἀναγράψασθαι (τε omisso) VM. 27 κατά] καὶ RVM, corr. U. 31 κεκινηκῶσιν V. 32 ἡ] καὶ VM. κἀμοὶ δὲ] κἀμοί τε R, καί μοί τε VM, corr. U. 34 κἀκ] καὶ V in marg. 37 μεγάλης τοῦ Θεοῦ VM. ἀρχιδιακόνου U.

and they rightly repudiate mathematicians, or rather astrologers, as people who gape vainly at the heavens and attach our life to the movements of the stars, openly fighting against God and truly stepping beyond proper bounds, to the detriment of their own heads, 5 and, to put it equally, of their souls.

But those men they drive away in this manner, and entirely as is worthy of their court, those who govern it well; while I, following them as a child follows his sacred foster-fathers and teachers, and utterly disregarding and spitting upon the second 10 of the two branches of star-gazing wisdom as treacherous and hazardous — inasmuch as the experts in these matters claim to examine, in a most dangerous manner, the changes contained therein as produced by the configurations of the stars — but the first in order and in power, for what is primary prevails over the rest, as bearing the greatest benefit and concerned only 15 with the movements of the stars, I deemed it fitting, for a useful commentary on the subject, both for my own sake and for that of my oldest acquaintances who urged me, to set forth and outline in the first book of the present compilation, as in summary headings, an introduction to astronomical calculations. And with regard to the second and third books, on which the philosopher Syrianus, 20 as well as Theon and Pappus the mathematicians and John the Grammarian, the citizen of Alexandria, have produced very extensive and thorough treatises — there are also some things on this subject discovered additionally by us.and in the second book, to survey more methodically the calculations of the Great Syntaxis concerning both the wandering and the fixed stars, and to render them easy by means of examples, 25 and likewise to record the calculations of the handy tables and to demonstrate the agreement of both in all respects. Then, in the third book, containing the calculations of the Persian handy tables, to bring to completion the present compilation, which bears the name Astronomical Tribiblos. This work is altogether useless to all others and rightly to be disregarded, but to those companions who have moved us to undertake this account it is a useful reminder of such study, and also to me, its begetter, Theodoros Meliteniotes, who was born in Constantinople, 35 the New Rome, and serves in the ministry in Christ, and by reason of his worthy rank in the sacred senate is Grand Sakellarios and Teacher of Teachers of the most holy Great Church of God and Archdeacon of the pious imperial clergy.

6 pantas V M. de V M. 9 astratheamonos Y. 10 those of the included m,nV M. 11 for those of the a. formations V M. 12 tanalos V. 17 palaeotatonnV M. 18 te om. V M. 20 is edited O. 26 written (te omisso V. M.n27 against) and RVW, corr. U. 31 kekinikosin V. 32 or] and V.M. some δὲ]nkamos te R, and some te VM, corr. U. 34 kak] and V in marg. 37 of his great God n M. Archdeacon U.

Καὶ δὴ τῆς ἀστρονομικῆς τριβίβλου ταύτης ἡ πρώτη, καλεῖται δὲ ψηφοφοριῶν εἰσαγωγή, περιέχει ταυτί.

Κεφάλαιον πρῶτον. Τί ἐστιν ἀστρονομία καὶ παρὰ τίνων εὑρεθεῖσα τὸ ἐξ ἀρχῆς ἦλθεν εἰς Ἕλληνας ὕστερον, τίς τε ὁ σκοπὸς τῆς Μαθηματικῆς καὶ Μεγάλης Συντάξεως καὶ τί τῶν ἐν αὐτῇ τρισκαίδεκα βιβλίων ἑκάστη διέξεισι.

Κεφάλαιον δεύτερον. Περὶ πολλαπλασιασμῶν μοιρῶν τε καὶ ἑξηκοστῶν εἴτ' οὖν ὅλων καὶ μορίων.

Κεφάλαιον τρίτον. Περὶ μερισμῶν τῶν αὐτῶν καὶ ὅπως οἱ μερισμοὶ γίνονται.

Κεφάλαιον τέταρτον. Πῶς ἔστιν ἑκάστου δεδομένου ἀριθμοῦ ἢ ῥητοῦ ἢ ἀρρήτου τὴν τετραγωνικὴν ἀνευρίσκειν πλευράν.

Κεφάλαιον πέμπτον. Πῶς ἔστιν εὑρεῖν ἑκάστου δεδομένου ἀριθμοῦ τὸ ἐπιζητούμενον μόριον.

Κεφάλαιον ἕκτον. Πῶς αἱ τῶν μορίων [f. 229v] συνθέσεις γίνονται.

Κεφάλαιον ἕβδομον. Περὶ ἀφαιρέσεων τῶν αὐτῶν.

Κεφάλαιον ὄγδοον. Πῶς οἱ τῶν αὐτῶν πολλαπλασιασμοὶ μορίοις τε καὶ ἀριθμοῖς εἴτ' οὖν ὅλοις γίνονται.

Κεφάλαιον ἔνατον. Ὅτι τῶν αὐτῶν ταὐτόν ἐστι πολλαπλασιασμὸς καὶ μερισμός.

Κεφάλαιον δέκατον. Ὅπως χρὴ τὸν τοῖς μαθηματικοῖς ἐξ ἀναλόγου ἀποδεικτικὸν τρόπον καλούμενον ἐφοδεύειν.

Κεφάλαιον ἑνδέκατον. Περὶ τῆς τοῦ ἀστρολάβου ὡροσκοπείου κατασκευῆς.

Κεφάλαιον δωδέκατον. Περὶ χρήσεως αὐτοῦ καὶ πρῶτον περὶ τῆς ἡμερινῆς τοῦ Ἡλίου διοπτείας, ἐν ᾧ καὶ περὶ τῶν δ' κέντρων τοῦ τε ὡροσκοποῦντος καὶ μεσουρανοῦντος καὶ τῶν τούτοις διαμετρούντων.

Κεφάλαιον τρίτον καὶ δέκατον. Πῶς ἔστιν ἐκ τοῦ ὀργάνου τὰς εἰλημμένας καιρικὰς ὥρας ἡμερινὰς εἰς ἰσημερινὰς μεταποιῆσαι· ἔτι τε εὑρεῖν, πόσοις ἰσημερινοῖς χρόνοις ἕκαστον ζῴδιον ἀναφέρεται καὶ πόσοις δύνει.

Κεφάλαιον τέταρτον καὶ δέκατον. Περὶ τῆς νυκτερινῆς τῶν ἀπλανῶν ἀστέρων ἐντέχνου διοπτείας καὶ ὅπως ἂν τὰς ἐντεῦθεν ἀναδοθείσας ὥρας εἰς ἰσημερινὰς μεταποιήσωμεν διὰ τοῦ ὀργάνου.

Κεφάλαιον πέμπτον καὶ δέκατον. Ὅτι λαβεῖν ἔστιν ἐκ τοῦ ὀργάνου τὰς ὥρας εὐθὺς ἰσημερινὰς καὶ διακεκριμένας.

Κεφάλαιον ἕκτον καὶ δέκατον. Ἔτι περὶ τῆς τῶν νυκτερινῶν ὡρῶν ἐποχῆς.

Κεφάλαιον ἕβδομον καὶ δέκατον. Περὶ χρήσεως παλαιγενοῦς

1 καλεῖται δέ] ἡ V M. 2 ψηφιφοριῶν R. περιέχει ταυτί om. M.

And so the first book of this astronomical Tribiblios — which is called Introduction to Calculations — contains the following.

Chapter One. What astronomy is and by whom it was discovered, how it came originally to the Greeks at a later time, what the purpose of the Mathematical and Great Syntaxis is, and what each of its thirteen books covers.

Chapter Two. On the multiplication of degrees and sixtieths, that is, of whole numbers and fractions.

Chapter Three. On the division of the same and how divisions are performed.

Chapter Four. How, for any given number whether rational or irrational, one may find its square root.

Chapter Five. How one may find a desired fraction of any given number.

Chapter Six. How the combinations of fractions [f. 229] are performed.

Chapter Seven. On the subtraction of the same.

Chapter Eight. How the multiplications of the same are performed with fractions and numbers, whether whole ones,

Chapter Nine. That multiplication and division of the same things are the same.

Chapter Ten. How one must pursue what is called by mathematicians the demonstrative method from analogy.

Chapter Eleven. On the construction of the astrolabe horoscope instrument.

Chapter Twelve. On its use, and first on the daytime sighting of the Sun, in which also on the four pivots of the horoscope and the midheaven and those diametrically opposite to them.

Chapter Thirteen. How it is possible from the instrument to convert the seasonal daytime hours that have been obtained into equinoctial hours; and further to find how many equinoctial times each zodiac sign rises and how many it takes to set.

Chapter Fourteen. On the nightly skilled sighting of the fixed stars, and how we may convert the hours derived therefrom into equinoctial hours by means of the instrument. Chapter

